B ἀδικώτατος διπλαῖς αὐτὸν ἢ τοὺς λῃστὰς βασάνοις τε καὶ μάστιξι λυμηνάμενος μεταξὺ τῶν λῃστῶν κατέφλεξε, τιμηθέντα τὸν μακάριον τῷ τοῦ Χριστοῦ παραδείγματι. ἀθρόον δέ τι σύνταγμα στῖφος στρατιωτικόν, Ἄμμων καὶ Ζήνων καὶ Πτολεμαῖος καὶ Ἰγγένης καὶ σὺν αὐτοῖς πρεσβύτης Θεόφιλος εἱστήκεισαν πρὸ τοῦ δικαστηρίου. κρινομένου δέ τινος ὡς Χριστιανοῦ καὶ πρὸς ἄρνησιν ῥέποντος ἐπρίοντο οὗτοι παρεστηκότες καὶ τοῖς προσώποις ἐνένευον καὶ τὰς χεῖρας ἀνέτεινον καὶ συνεσχηματίζοντο τοῖς σώμασιν. ἐπιστροφῆς δὲ πάντων πρὸς αὐτοὺς γενομένης, πρίν τινας αὐτῶν ὅλως λαβέσθαι, φθάσαντες ἐπὶ τὸ βάθρον ἀνέ-
C δραμον εἶναι Χριστιανοὶ λέγοντες, ὥστε τὸν ἡγεμόνα καὶ τοὺς συνέδρους ἐν φόβῳ γενέσθαι, καὶ τοὺς μὲν κρινομένους εὐθαρσεστάτους ἐφ᾽ οἷς πείσονται φαίνεσθαι, τοὺς δὲ δικάζοντας ἀποδειλιᾶν. καὶ οὗτοι μὲν ἐκ δικαστηρίων ἐνεπόμπευσαν καὶ ἠγαλλιάσαντο τῇ μαρτυρίᾳ, θριαμβεύοντος αὐτοὺς ἐνδόξως τοῦ θεοῦ.

Ἄλλοι δὲ πλεῖστοι κατὰ χώρας καὶ κώμας ὑπὸ τῶν ἐθνῶν διεσπάσθησαν, ὧν ἑνὸς παραδείγματος ἕνεκεν ἐπιμνησθήσομαι. Ἰσχυρίων ἐπετρόπευέ τινι τῶν ἀρχόντων. τοῦτον ὁ μισθοδότης ἐκέλευσε θῦσαι, μὴ πειθόμενον δὲ ὕβριζων, ἐμμένοντα προὐπηλάκιζε, βακτηρίαν μεγάλην λαβὼν διὰ τῶν ἐντέρων καὶ τῶν σπλάγχνων διώ-
D σας ἀπέκτεινε. τί δεῖ λέγειν τὸ πλῆθος τῶν ἐν ἐρημίαις καὶ ὄρεσι

4. στρατιωτικὸν] στρατιωτῶν G. 7. ἐπρίοντο ex Eusebio. Vulgo ἐπριῶντο. 11. ὥστε] ὡς ὅτι G. 12. γενέσθαι] κρίνεσθαι G. 14. ἐκ] ἀπὸ G.

vinctus accusatur. Iste, ceu qui nefarium scelus a se vellet editum, catenis duplo gravioribus, suppliciisque et verberibus, quam quae latronibus infligerentur, cruciatum; Christi tamen exemplo beatum honoratumque, medium inter duos latrones igni comburendum pronunciavit. Confestim porro quaedam militum turma Ammon, Zeno, Ptolemaeus et Ingenes et cum eis senior quidam Theophilus coram tribunali adstitit. Quodam igitur fidei Christianae nomine examinato, iamque ad Christum abnegandum proclivi, illi assistentes infremebant; animis, vultu innuebant, manibus elatis signa dabant, uno verbo totis corporibus ut animos adderent, distorquebantur. Omnium autem ad eos versis adspectibus, nullo eorum adhuc deprehenso, ad subsellia sponte accurrere, Christianos se esse sponte professi, adeo ut praefectus et assessores deinceps metu quasi iudicandi corripi, ipsi vero iudicati obiectis tormentis, pavidis tamen iudicibus audaciores facti viderentur. Ita tribunalibus in ipsis tropaea statuere, testimonioque reddito ovare, Christo summa cum gloria in eis triumphante, coeperunt.

Alii vero per urbes et vicos distrahebantur, quorum unius exempli memoria mihi est agenda. Ischyrion mercede conductus cuiusdam nobilis procuratorem agebat. Is qui conduxerat, iubet idola sacrificiis colere, iussa detrectantem conviciis incessit dominus et in instituto perseveranti sude acuta per ventrem et viscera adacta vitam eripit. Quid porro ne-



πλανηθέντων ὑπὸ λιμοῦ καὶ δίψης καὶ κρύους καὶ λῃστῶν καὶ νόσων καὶ θηρίων διεφθαρμένων, ὧν οἱ περιγενόμενοι τῆς ἐκείνων εἰσὶν ἐκλογῆς καὶ νίκης μάρτυρες; ἓν δὲ καὶ τούτων εἰς δήλωσιν ἔργον παραθήσομαι. Χαιρήμων ἦν ὑπέργηρως τῆς Νείλου καλουμένης πόλεως ἐπίσκοπος. οὗτος εἰς τὸ Ἀράβιον ὄρος ἐπανελήλυθεν, οὐδὲ ἠδυνήθησαν ἰδεῖν οὐκέτι, καίπερ πολλὰ διερευνησάμενοι, οἱ ἀδελφοὶ οὔτε αὐτοὺς οὔτε τὰ σώματα αὐτῶν. P. 370
πολλοὶ δὲ οἱ κατ᾽ αὐτὸ τὸ Ἀραβικὸν ὄρος ἐξανδραποδισθέντες ὑπὸ βαρβάρων Σαρακηνῶν οἱ μὲν μόλις ἐπὶ πλείστοις χρήμασιν ἐλυτρώθησαν, οἱ δὲ μέχρι καὶ νῦν οὐδέπω. ταῦτα διεξῆλθον οὐ μάτην, ἀδελφέ, ἀλλ᾽ ἵνα ἴδῃς ὅσα καὶ ἡλίκα δεινὰ παρ᾽ ἡμῖν συνέβη, ὧν οἱ μᾶλλον πεπειραμένοι πλεῖον ἂν εἴδοιεν. καὶ μετὰ βραχύ· αὐτοὶ τοίνυν οἱ θεῖοι μάρτυρες παρ᾽ ἡμῖν οἱ νῦν τοῦ Χριστοῦ πάρεδροι καὶ τῆς βασιλείας αὐτοῦ κοινωνοὶ καὶ μέτοχοι τῆς κρίσεως αὐτοῦ καὶ συνδικάζοντες αὐτῷ τῶν παραπεπτωκότων ἀδελφῶν τινας ὑπευθύνους τοῖς τῶν θυσιῶν ἐγκλήμασι γενομέ- B
νους προσελάβοντο, καὶ τὴν ἐπιστροφὴν καὶ μετάνοιαν αὐτῶν ἰδόντες δεκτήν τε γενέσθαι δυναμένην τῷ μὴ βουλομένῳ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ καθόλου ὡς τὴν μετάνοιαν, δοκιμάσαντες προσεδέξαντο καὶ συνήγαγον καὶ προσευχῶν αὐτοῖς ἐκοινώνησαν καὶ ἑστιάσεως. τί οὖν ἡμῖν, ἀδελφοί, περὶ τούτων συμβουλεύετε; τί ἡμῖν πρακτέον; σύμψυχοι καὶ ὁμογνώμονες αὐτοῖς

3. τούτων] τούτῳ G. 12. πλεῖον] πλείονα G. 20. καὶ συνήγαγον] καὶ om. G.

cesse est per solitudines et montes vagantium commemorare turbas, fame, siti, frigore, latronibus, morbis et feris confectas, quorum superstites selectae illorum cohortis eorundemque victoriae testes existunt; tamen unum vel aliud exemplum proferam quo virtus eorum manifesta fiat et perspecta. Chaeremon provecta iam aetate civitatis Nili nomine fuit episcopus. Hic cum coniugii consorte in Arabium montem arrepta fuga, nusquam reversus est, neque fratrum quisquam omni licet quaerendi posita diligentia, eos vel eorum corpora comperit. Permulti sane in Arabico monte a barbaris Saracenis in captivitatem ducti sunt, quorum quidam vix magno pretio redempti, alii etiam hucusque suis restitui non potuere. Haec non incassum a me sunt relata, frater, sed ut cognoscas quantae qualesve calamitates nos undique impetierint, quas qui magis fuerint experti, copiosius etiam noverint enarrare. Nec multis interiectis prosequitur. Divini martyres isti, Christi nunc assessores, illiusque regni participes et in iudicii consortium adsciti, fratres quondam lapsos et sacrorum criminibus obnoxios, dum adhuc inter nos versarentur, susceperunt; probataque eorum conversione et poenitentia, quam ei, qui non ita mortem peccatoris, quam emendationem morum exquirit, acceptam fore iudicantes, in ecclesiae sinum admiserunt, sacris allegerunt conventibus, suffragiis comitati sunt et precum et epularum communionem largiti. Quid igitur consilii de talibus datis, fratres? Quid facto est opus? Uno cum eis feramur

καταστῶμεν καὶ τὴν κρίσιν αὐτῶν τῇ χάριτι φυλάξωμεν, καὶ τοῖς ἐλεηθεῖσιν ὑπ' αὐτῶν χρηστευσώμεθα ἢ τὴν κρίσιν αὐτῶν ἄδικον V. 295 ποιησώμεθα καὶ δοκιμαστὰς αὐτοὺς τῆς ἐκείνων γνώμης ἐπιστή- C σωμεν καὶ τὴν χρηστότητα λυπήσωμεν καὶ τὴν τάξιν ἀνασκευάσωμεν; σαφῶς διὰ τούτων ἐλέγχει τὴν Ναυάτου μισανθρωπίαν ὁ ἱερὸς Διονύσιος.

Ὃς Ναυᾶτος πρεσβύτερος τῆς Ῥωμαίων ἐκκλησίας ὢν κατὰ τούτους δὲ τοὺς χρόνους τῆς ἐπισκοπῆς ἀναξίως ὀρεγόμενος καὶ ἀποτυχὼν ἐν ἄλλοις τε ἀτοπήμασι κατεγνωσμένοις μάλιστα φιλαργυρίᾳ καὶ οἰήσει καὶ φιλαυτίᾳ, προφάσει δῆθεν τῶν ἐπιθυσάντων ἐπὶ τῷ κατὰ Δέκιον διωγμῷ, καὶ διὰ μετανοίας παραδεχθέντων εἰς κοινωνίαν τῇ ἐκκλησίᾳ, ταύτης ἀπέσχισεν ἀρχηγὸς καὶ αἱρεσιάρχης τῶν ἑαυτοὺς Καθαροὺς ὀνομαζόντων δι' ὑπερήφανον γνώμην ὀφθείς, καὶ σὺν αὐτοῖς ἐξωσθεὶς τοῦ παραδείσου D τῆς ἐκκλησίας ψήφῳ πατέρων ἁγίων ἑξήκοντα συνελθόντων ἐν Ῥώμῃ.

### Περὶ τῆς κατὰ Ναυάτου συνόδου γενομένης ὑπὸ Κορνηλίου ἐν Ῥώμῃ.

Συνοδικῶς ὅτι μετὰ πλείστων πρεσβυτέρων τε καὶ διακόνων, καὶ τοῦτον ἐκκηρυξάντων σὺν τοῖς ὁμόφροσιν ἀπανθρώποις, τοὺς

2. ἢ τὴν — ποιησόμεθα ex P accesserunt. Correxi ποιησώμεθα ex Eusebio. 4. τὴν χρηστότητα] τὴν om. G. 8. τούτους δὲ] τούσδε G. 11. τῷ — διωγμῷ] τὸν — διωγμὸν G. 12. ἀπέσχισεν AP. ἀπέσχισαν G. 14. παραδείσσου A. 20. ἐκκηρυξάντων P. ἐκήρυξαν τῶν G.

animo et in unam ibimus sententiam? Annon eorum iudicium gratia nostra volemus confirmatum, et benigne ab eis iamdiu susceptis humanitatem exhibebimus? Aut certe irritam reddemus eorum sententiam, iudicium eorum censurae nostrae subiiciemus examinandum, tetrici illorum clementiae sedebimus censores et quem iam rebus afflictis apposuerunt ordinem, evertemus? Verbis istiusmodi Novati inhumanitatem luculenter satis arguit sacer Dionysius.

Novatus iste cum ea tempestate ecclesiae Romanae presbyter foret, summi episcopatus quo non est potitus, ambitione ferebatur. Pluribus autem criminibus avaritiae nimirum, aestimationis et amoris proprii obnoxius, eorum qui in Decii persecutione sacrificaverant et in ecclesiae communionem poenitentes fuerant recepti praetextu, ab ea se ipsum voluit rescissum, dux et signifer haereseos Puros sese iactantium elato supercilio constitutus et cum eis ex ecclesiae paradiso sanctorum 60 patrum Romam convenientium decreto expulsus est.

### De synodo adversus Novatum sub Cornelio Romae congregata.

Magna presbyterorum et diaconorum frequentia cum inhumanis eiusdem sententiae sequacibus damnatus est Novatus; lapsi vero fratres acta



δὲ παραπεπτωκότας ἀδελφοὺς διὰ μετανοίας δεξαμένων. τῆς δὲ τοιαύτης συνόδου Κορνήλιος ἐπίσκοπος Ῥώμης ἐξῆρχεν, ὃς καὶ P. 371 γράφει πρὸς Φάβιον ἐπίσκοπον Ἀντιοχείας τὰ παραστάντα τῇ συνόδῳ, καὶ πάλιν ἰδίως περὶ τῆς Ναυάτου κακοπραγίας λέγων· ἵνα δὲ γνῷς ὅτι πρόπαλαι ὀρεγόμενος τῆς ἐπισκοπῆς ὁ θαυμάσιος καὶ κρύπτων ἐν ἑαυτῷ τὴν προπετῆ ταύτην ἐπιθυμίαν ἐλάνθανεν, ἐπικαλύμμασι τῆς αὐτοῦ ἐπινοίας τὸ καταρχὰς σὺν αὐτῷ τοὺς ὁμολογοῦντας ἐσχηκέναι χρώμενος, εἰπεῖν βούλομαι. Μάξιμος πρεσβύτερος τῶν παρ' ἡμῖν καὶ Οὐρβανὸς δὶς τὴν ἐξομολογίας δόξαν ἀρίστην καρπωσάμενοι, Σιδώνιός τε καὶ Κελερῖνος, ἀνήρ, ὃς πάσας βασάνους διὰ τὸν τοῦ θεοῦ ἔλεον καρτερικώτατα διενεγκών, καὶ τῇ ῥώμῃ τῆς αὐτοῦ πίστεως τὸ ἀσθενὲς τῆς σαρ- B κὸς ἐπιρρώσας, κατὰ κράτος νενίκηκε τὸν ἀντικείμενον· οὗτοι δὴ οὖν οἱ ἄνδρες κατανοήσαντες αὐτὸν καὶ καταφωράσαντες τὴν ἐν αὐτῷ πανουργίαν τε καὶ παλιμβουλίαν τάς τε ἐπιορκίας καὶ τὰς ψευδολογίας καὶ τὴν ἀκοινωνησίαν αὐτοῦ καὶ λυκοφιλίαν ἐπανῆλθον εἰς τὴν ἁγίαν ἐκκλησίαν· καὶ ἅπαντα αὐτοῦ τὰ τεχνάσματα καὶ πονηρεύματα, ἃ ἐκ πολλοῦ ἔχων ὑπεστέλλετο, παρόντων τοῦτο μὲν ἐπισκόπων, τοῦτο δὲ πρεσβυτέρων καὶ λαϊκῶν παμπόλλων, ἐξήγγειλαν, ἀποδυρόμενοι καὶ μεταγινώσκοντες ἐφ' οἷς πεισθέντες τῷ δολερῷ καὶ κακοήθει θηρίῳ πρὸς ὀλίγον χρόνον τῆς ἐκκλησίας ἀπελείφθησαν. καὶ μετ' ὀλίγα· ἀμήχανον C ὅσην, ἀγαπητὲ ἀδελφέ, τροπὴν καὶ μεταβολὴν ἐν βραχεῖ καιρῷ

2. ὃς] ὡς G. 4. τῆς] τοῦ G. 23. καιρῷ om. G.

poenitentia ab ecclesia recepti. Huic autem synodo Cornelius Romanus episcopus praesedit, prout ipse Fabium Antiochenum episcopum a concilio absentem litteris monet et privatim rursus de damnatis Novati gestis in hunc modum disserit. Ut autem cognoscas hunc admirabilem virum iam olim ambivisse pontificatum et latenter in se ipso proclivem in honores cupiditatem caelasse atque ideo concepto animi proposito velamen daturum confessores socios sibi coniungere tentasse, verbis aperiam necesse est. Presbyter e nostris Maximus et Urbanus, praeclarae confessionis gloria secundo potiti, Sidoniusque et Celerinus, vir, qui dei clementia cruciatus omnes superavit, et carnis infirmitate multo fidei robore firmata, viriliter deiecit adversarium; tales, inquam, viri, deterto animi eius instituto, vafritieque in omnes partes sese vertente comperta, notis etiam periuriis, mendaciis, ab ecclesiastica communione mente aversa, ac feritate in eo plane lupina, ad ecclesiam reversi sunt; fallacesque eius artes ac versutias diutius ab eo tectas, praesentibus quam plurimis, has quidem episcopis, alias presbyteris adstantibus et laicis manifeste confessi, et cum animi dolore deflent a subdola malignaque fera suasos ac detentos se ad breve quantumlibet tempus ab ecclesiae consortio fuisse seiunctos. Et paucis interiectis. Vix dici potest, dilecte frater, quam varietatem et circa

ἐθεασάμεθα ἐπ' αὐτοὺς γενομένην. ὁ γάρ τοι λαμπρότατος καὶ
δι' ὅρκων φοβερῶν τινῶν πιστούμενος μηδ' ὅλως ἐπισκοπὴν ὀρέ-
γεσθαι, αἰφνίδιον ἐπίσκοπος ὥσπερ ἐκ μαγγάνου τινὸς εἰς τὸ
μέσον ῥιφεὶς ἀναφαίνεται. οὗτος γάρ τοι ὁ δογματιστὴς ὁ τῆς
ἐκκλησιαστικῆς ἐπιστήμης ὑπερασπιστὴς ὁπηνίκα παρασπάσασθαι
τε καὶ ὑφαρπάζειν τὴν μὴ δοθεῖσαν αὐτῷ ἄνωθεν ἐπισκοπὴν
ἐπεχείρει, δύο ἑαυτῷ κοινωνοὺς ἀπεγνωκότας τὴν ἑαυτῶν σωτη-
ρίαν ἐπιλέξατο, ὡς ἂν εἰς βραχύ τι μέρος καὶ ἐλάχιστον τῆς
Ἰταλίας ἀποστείλῃ· κἀκεῖθεν ἐπισκόπους τρεῖς ἀγροίκους καὶ
D ἁπλουστάτους πλαστῇ τινι ἐξαπατῆσαι ἐπιχειρήσει, διαβεβαιού-
V. 296 μενος καὶ δυσχυριζόμενος δεῖν αὐτοὺς ἐν τάχει παραγενέσθαι εἰς
Ῥώμην, ὡς δή τις πᾶσα διχοστασία γεγονυῖα σὺν καὶ ἑτέροις
ἐπισκόποις μεσιτευόντων διαλυθῇ· οὓς παραγενομένους, ἅτε δή,
ὡς ἔφθημεν λέγοντες, ἀνθρώπους ἁπλουστέρους περὶ τὰς τῶν
πονηρῶν μηχανίας καὶ ῥᾳδιουργίας συγκλεισθέντας ὑπό τινων
ὁμοίων αὐτῷ τεταραγμένων ἀνθρώπων, ὥρᾳ δεκάτῃ μεθύοντας
καὶ κραιπαλοῦντας μετὰ βίας ἠνάγκασαν εἰκονικῇ τινι καὶ ματαιό-
τητι καὶ ματαίᾳ χειρῶν ἐπιθεσίᾳ ἐπισκοπὴν αὐτῷ δοῦναι, ἣν
P. 372 ἐνέδρᾳ καὶ πανουργίᾳ ἐπιβάλλουσαν αὐτῷ ἐκδικεῖ. ἐξ ὧν εἷς μετ'
οὐ πολὺ ἐπανῆλθεν εἰς τὴν ἐκκλησίαν ἀποδυρόμενος καὶ ἐξομο-
λογούμενος τὸ ἑαυτοῦ ἁμάρτημα, ᾧ καὶ ἐκοινωνήσαμεν λαϊκῷ,

1. τοι] τι A. 3. αἰφνιδίως G. 5. παρασπᾶσαι G. 6. αὐτῷ] ἐν τῷ G. 11. εἰς τάχει G. 16. αὐτῷ] αὐτοῦ G. ὥρᾳ ex Eusebio. Vulgo ὀρῷ. 17. ἠνάγκασεν G. 18. χειρῶν] χειρὸν A. χειρὸς G.

mores mutationem, data brevi temporis mora, in eo adverterimus. Illustrissimus enim ille, qui tremendo etiam interposito iusiurando se nusquam episcopatum ambivisse confirmabat, derepente, quasi ex machina in mediam scenam delapsus, episcopus apparuit. Iste, dico, novorum dogmatum auctor, ecclesiasticae disciplinae propugnator, cum sibi vindicare vel non oblatum prius subripere molitur episcopatum, duos sibi socios de salute desperatos adiunxit, quos postmodum in secretam et angustam aliquam Italiae partem amandaret. Exinde tres episcopos rusticos plane simplicique animo motos arte veteratoria seduxit, data fide pollicitus brevi Romam eos venturos, ut ipsis cum reliquorum episcoporum coetu velut pacis arbitris sedentibus, quae affligebat ecclesiam discordia, penitus tolleretur. Illos ceu qui, ut praemisimus, hebetiores erant ad malignorum versutias et fraudes percipiendas, Romam adventantes, a factionis eiusdem consortibus et pacis perturbatoribus interceptos, ad horam decimam ebrietati crapulisque vacantes violenter compulit imaginaria quadam fictaque manuum impositione episcopatum sibi tradere, quem deinceps insidiis et fraudibus oblatum et penitus alienum sibi vindicavit. Eorum unus non diu post lacrymis et confessione scelus expiaturus, ad ecclesiam reversus est, cui communionis laicae gratiam, expostulantibus eam totius populi



ὑπὲρ αὐτοῦ δεηθέντος παντὸς τοῦ παρόντος λαοῦ. τῶν δὲ λοι-
πῶν ἐπισκόπων διαδόχους εἰς τοὺς τόπους ἐν οἷς ἦσαν χειροτονή-
σαντες ἀπεστάλκαμεν. ὁ ἐκδικητὴς οὖν τοῦ εὐαγγελίου οὐκ ἠπί-
στατο ἕνα ἐπίσκοπον δεῖν εἶναι ἐν καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ οὐκ
ἠγνόει, πῶς γάρ; πρεσβυτέρους εἶναι μζ', διακόνους ζ', ὑπο-
διακόνους ζ', ἀκολούθους δύο καὶ τεσσαράκοντα, ἐξορκιστὰς δὲ
καὶ ἀναγνώστας ἅμα πυλωροῖς δυσὶ καὶ πεντήκοντα, χήρας σὺν B
θλιβομένοις ὑπὲρ ͵αφ'. οὓς πάντας ἡ τοῦ δεσπότου χάρις καὶ
φιλανθρωπία διατρέφει· ὧν οὐδὲ τοσοῦτον πλῆθος καὶ οὕτως
ἀναγκαῖον ἐν τῇ ἐκκλησίᾳ διὰ τῆς τοῦ θεοῦ προνοίας πλούσιός τε
καὶ πληθύων ἀριθμὸς μετὰ μεγίστου καὶ ἀναριθμήτου λαοῦ ἀπὸ
τῆς τοιαύτης ἀπογνώσεώς τε καὶ ἀπαγορεύσεως ἐπέστρεψέ τε καὶ
ἀνεκαλέσατο εἰς τὴν ἐκκλησίαν.

Τούτοις ἐπάγων μεθ' ἕτερά φησι φέρε δὴ ἑξῆς εἴπωμεν τίσιν
ἔργοις ἢ τίσι πολιτείαις τεθαρρηκὼς ἀντεποιήθη τῆς ἐπισκοπῆς.
ἆρά γε διὰ τὸ ἐξ ἀρχῆς ἐν τῇ ἐκκλησίᾳ ἀνεστράφθαι καὶ πολλοὺς C
ἀγῶνας ὑπὲρ αὐτῆς ἠγωνίσθαι καὶ ἐν κινδύνοις πολλοῖς τε καὶ
μεγάλοις ἕνεκα τῆς θεοσεβείας γεγονέναι; ἀλλ' οὐκ ἔστιν ὅ γε
ἀφορμὴ τοῦ πιστεῦσαι γέγονεν ὁ σατανᾶς φοιτήσας εἰς αὐτὸν καὶ
οἰκήσας ἐν αὐτῷ χρόνον ἱκανόν· ὡς βοηθούμενος ὑπὸ τῶν ἐξορ-
κιστῶν νόσῳ παραπεσὼν χαλεπῇ καὶ ἀποθανεῖσθαι ὅσον οὐδέπω
νομιζόμενος ἐν αὐτῇ τῇ κλίνῃ οὗ ἔκειτο περιχυθεὶς ἔλαβεν, εἴ γε

3. ὁ] ὁ δὲ G. 7. συνθλιβομένοις A. συνθλιβομένας G. 16. ἀνεστραφῆναι G. 17. ἠγωνίσαι G.

precibus, sumus impartiti; creatosque duorum aliorum episcoporum successores in eorum sedes misimus. An nesciebat praeclarus ille vindex evangelii, unum episcopum in ecclesia catholica praeesse, in qua sane non ignorabat, quonam enim pacto? Presbyteros esse quadraginta septem, diaconos septem, totidem subdiaconos, duos supra quadraginta acoluthos, exorcistas et lectores, una cum ostiariis quinquaginta duos, viduas in afflictione positas supra mille quingentas; quos omnes domini gratia et in homines benignitas abunde sustentat; quorum adeo copiosa et tam necessaria multitudo in ecclesia, numerus, inquam, ille dei providentia locupletatus adiuncto populi magno et immenso agmine, ab eo desperationis proposito damnandaque contumacia divertere et ad ecclesiam non potuit hominem perditum revocare.

Ex his post alia quaedam interiecta subinfert. Agedum, quibus actis, quibusque vitae institutis confisus pontificium ambivit, edisseramus. Num quod a primo aetatis flore frequentavit ecclesiam, vel plura certamina eius nomine sustinuerit, vel religionis amore pluribus iisque magnis periculis se obnoxium fecerit? Non est huiusmodi haec credendi occasio. Satanas ipse frequenti appulsu in eum ingressus et in eo diutino tempore commoratus fidei eius causa fuit. Nam cum in periculosum morbum incidisset et morti iam proximus putaretur, in ipso lecto quo decumbebat, solo exorcistarum ministerio, aqua perfusus, sacramentum suscepit; si ta-

χρὴ λέγειν τὸν τοιοῦτον εἰληφέναι. οὐ μὴν οὐδὲ τῶν λοιπῶν ἔτυχε διαφυγὼν τὴν νόσον ὧν χρὴ μεταλαμβάνειν κατὰ τὸν τῆς ἐκκλησίας κανόνα, τοῦ τε σφραγισθῆναι ὑπὸ τοῦ ἐπισκόπου. τούτων D δὲ μὴ τυχὼν πῶς ἂν τοῦ ἁγίου πνεύματος ἔτυχε; καὶ αὖθις ἐπιφέρει· οὐ διὰ δειλίαν καὶ φιλοζωίαν ἐν τῷ καιρῷ τῆς διώξεως πρεσβύτερον εἶναι ἑαυτὸν ἀρνησάμενος; ἀξιούμενος γὰρ καὶ παρακαλούμενος ὑπὸ τῶν διακόνων ἐξελθεῖν τοῦ οἰκίσκου, ἐν ᾧ καθεῖρξεν ἑαυτὸν, καὶ βοηθῆσαι τοῖς ἀδελφοῖς ὅσα θέμις καὶ ὅσα δυνατὸν πρεσβυτέρῳ κινδυνεύουσιν ἀδελφοῖς καὶ ἐπικουρίας δεομένοις βοηθεῖν, τοσοῦτον ἀπέσχε τοῦ πειθαρχῆσαι καὶ παρακαλοῦσι τοῖς διακόνοις, ὡς καὶ χαλεπαίνοντα ἀπιέναι καὶ ἀπαλλάττεσθαι. μὴ γὰρ ἔτι βούλεσθαι πρεσβύτερος ἔφη. ἑτέρας γὰρ φιλοσοφίας εἶναι ἐραστής. εἶτ' ἐπιφέρει μετ' ὀλίγον· καταλιπὼν P. 373 γὰρ ὁ λαμπρὸς οὗτος τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἐν ᾗ πιστεύσας V. 297 κατηξιώθη τοῦ πρεσβυτερίου κατὰ χάριν τοῦ ἐπισκόπου τοῦ ἐπιθέντος αὐτῷ χεῖρας εἰς πρεσβυτερίου κλῆρον, ὡς διακωλυόμενος ὑπὸ παντὸς τοῦ κλήρου, ἀλλὰ καὶ λαϊκῶν πολλῶν· ἐπεὶ μὴ ἐξὸν ἦν τὸ ἐπὶ κλίνῃ διὰ νόσον περιχυθέντα, ὥσπερ καὶ οὗτος, εἰς κλῆρόν τινα γενέσθαι, ἠξίωσε συγχωρηθῆναι αὐτὸν τοῦτον μόνον χειροτονῆσαι. τούτοις προστίθησιν ὁ Κορνήλιος τὸ ἀτοπώτατον τῆς Ναυάτου ἀνευλαβείας φάσκων· ποιήσας γὰρ τὰς προσφορὰς καὶ διανέμων ἑκάστῳ τὸ μέρος καὶ ἐπιδιδοὺς τούτῳ ὀμνύειν ἀντὶ τοῦ εὐλογεῖν

3. τοῦ P. τούς G. τούτων] τούτου G. 6. ἑαυτὸν εἶναι G. 12. πρεσβύτερος εἶναι ἔφη G. 21. διανείμας G. 22. τούτῳ] αὐτῷ G.

men eum suscepisse fatendum est. Morbo tamen liberatus nihil huiusmodi adeptus est, quod iuxta canones ecclesiae nos suscipere decet; ut ab episcopo nimirum consignemur. Huius autem doni expers, quomodo sanctum ipsum spiritum consequi potuisset? Rursus subiungit. An non metu, vitaeque amore persequutionis temporis presbyterum se esse denegavit? Rogatus siquidem et a diaconis exoratus, ut tugurio quo se concluserat prodiret et quantum fas esset potestasque presbytero fieret, periclitantibus fratribus subsidioque indigentibus opem ferret; tantum abfuit, ut diaconorum precibus morem gereret, ut etiam non sine stomacho ab eis discederet, nec se amplius presbyterum esse velle profiteretur, utpote sanctioris agendae vitae rationis cupidine tractum. Post pauca deinde subiungit. Dereliquit certe strenuus ille miles ecclesiam dei, in qua, suscepta fide, per gratiam episcopi in presbyterii sortem manus illi imponentis presbyteri dignitatem sortitus est; episcopus vero ne hoc faceret, tum ab omni clero tum a plurimis etiam e plebe vetitus, cum non liceret aqua leviter in lecto lustratum, prout ei contigerat, in domini clerum cooptari; hoc sibi permitti rogavit, ut huic soli munus ordinum conferre liceret. Istis adiungit Cornelius cunctorum Novati facinus impiissimum, dicens. Peracto sacrificii offerendi ritu, distributurus unicuique partem Novatus, iam-



τοὺς ταλαιπώρους ἀνθρώπους ἀναγκάζει, κατέχων ἀμφοτέραις B ταῖς χερσὶ τὰς τοῦ λαβόντος καὶ μὴ ἀφεὶς ἕως ἂν ὀμνύοντες εἴπωσι ταῦτα· (τοῖς γὰρ ἐκείνου χρήσομαι λόγοις) ὄμοσόν μοι κατὰ τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μηδέποτέ με καταλιπεῖν καὶ ἐπιστρέψαι πρὸς Κορνήλιον. καὶ ὁ ἄθλιος ἄνθρωπος οὐ πρότερον γεύεται, εἰ μὴ πρότερον ἑαυτῷ καταράσαιτο. καὶ ἀντὶ τοῦ εἰπεῖν λαμβάνοντα τὸν ἄρτον ἐκεῖνον τὸ ἀμὴν, οὐκ ἔτι ἐπανήξω πρὸς Κορνήλιον, λέγει. Φαβίῳ μὲν γὰρ Ἀντιοχείας ἐπισκόπῳ χωλαίνοντι περὶ Ναυάτου Κορνήλιος τὰ προστεταγμένα καὶ ὅπως αὐτὸν οἱ πολλοὶ καταλιμπάνοντες τῇ ἐκκλησίᾳ προσέτρεχον, ἔγραψεν ἀναγκαίως· ἐν οἷς καὶ τὰ περὶ C Μωϋσέως τοῦ μακαρίου μάρτυρος, ὅπως αὐτὸν ἀκοινώνητον ἐποίησε τὸν Ναυᾶτον πρὸ τοῦ μαρτυρίου, καταγνοὺς αὐτοῦ τῆς θρασύτητος, ἅμα τοῖς συναποσχισταῖς αὐτοῦ πέντε πρεσβυτέροις, προσθεὶς ἐν τῷ τέλει τῆς ἐπιστολῆς τῶν συνελθόντων ἐν Ῥώμῃ ἐπισκόπων κατ' αὐτοῦ τὸν κατάλογον ποιεῖται κατ' ὄνομα καὶ παροικίαν, τῶν τε μὴ συνελθόντων διά τινας ἀναγκαίας περιστάσεις, εὐδοκησάντων δὲ γράμμασιν οἰκείοις τῇ θείᾳ κατ' αὐτοῦ κρίσει. ἀκόλουθα δὲ τούτοις καὶ Διονύσιος ὁ μέγας Ἀλεξανδρείας τούτῳ ταὐτῷ Φαβίῳ περὶ μετανοίας ἐπιστέλλων μνήμης ὁμοῦ καὶ θαύματος ἄξιόν τι προστίθησι, μετὰ τὴν ἔναγχος D ἐπ' Ἀλεξανδρείας μαρτυρησάντων καὶ τὴν λοιπὴν ἱστορίαν αὐτῷ διεξιών.

3. ἐκείνου P. ἐκείνοις G. λόγοις AP. λόγων G. 11. ἔγραψεν P. ἔγγραφον G.

que tradens manibus, miseros homines benedictionis vice iuramentum exposcit, ac inter proprias suscipientis manibus detentis, non dimittit prius quin iuramento interposito haec fuerint effati: (ipsis enim eius utar verbis) „iura mihi per corpus et sanguinem domini nostri Iesu, te nunquam a me discessurum et ad Cornelium rediturum." Infelix autem ille non prius sancta delibat, quam se fuerit exsecratus; et cum suscipientem illum oporteat dicere, amen, „non revertar ad Cornelium", dicit. Fabio certe Antiochensi Novatum durius exceptum indigne ferenti, non modo supra memorata, sed et qua ratione, eo relicto, plerique confugerent, Cornelius necesse duxit scribendum, ac simul praeclarum B. martyris Mosis facinus attexit, ut nimirum a communione cum Novato damnata tum eius, tum quinque presbyterorum rescissionem eius foventium temeritate, sese ipsum martyrio iam proximus segregarit; nec non in ipsius epistolae calce episcoporum Romam convenientium, cum nomina tum etiam paroecias ordine cuiusque servato subiungit; absentium praeterea qui iusto praetextu detenti, propriis tamen litteris divino eius iudicio sunt assensi, nomen haud reticet. Quin etiam pari orationis stilo magnus Dionysius Alexandriae praesul Fabio eidem de poenitentia scribens, memoria simul et admiratione non indignam rem subdit; eorumque nominibus et poenis, qui recens martyrium Alexandriae obierant, relatis, reliquam insuper adtexit historiam.

Ἐκ τῆς Διονυσίου πρὸς Φάβιον ἐπιστολῆς κατὰ Ναυάτου.

Ἓν δέ σοι τοῦτο παράδειγμα παρ' ἡμῖν συμβεβηκὸς ἐκθήσο-
μαι· Σαραπίων τις ἦν παρ' ἡμῖν πιστὸς, γέρων ἄμεμπτος μὲν
τὸν πολὺν διαβιώσας χρόνον, ἐν δὲ τῷ πειρασμῷ πεσὼν οὗτος,
πολλάκις ἐδεῖτο καὶ οὐδεὶς προσεῖχεν αὐτῷ· καὶ γὰρ ἐτεθύκει.
P. 374 ἐν νόσῳ δὲ γενόμενος τριῶν ἑξῆς ἡμερῶν ἄφωνος καὶ ἀναίσθη-
τος διετέλεσε. βραχὺ δὲ ἀνασφήλας τῇ τετάρτῃ προσεκαλέσατο
τὸν θυγατριδοῦν. καὶ μέχρι τίνος, φησὶν, ὦ τέκνον με κατέχετε;
δέομαι σπεύσατε καί με θᾶττον ἀπολύσατε, τῶν πρεσβυτέρων
μοί τινα κάλεσον· καὶ ταῦτα εἰπὼν πάλιν ἦν ἄφωνος. ἔδραμεν ὁ
παῖς ἐπὶ τὸν πρεσβύτερον. νὺξ δὲ ἦν κἀκεῖνος ἠσθένει. ἀφικνεῖ-
σθαι μὲν οὐκ ἠδυνήθη. ἐντολῆς δὲ ὑπ' ἐμοῦ δεδομένης τοὺς
ἀπαλλαττομένους τοῦ βίου, εἰ δέοιντο, καὶ μάλιστα εἰ καὶ πρό-
τερον ἱκετεύσαντες τύχοιεν ἀφίεσθαι, ἵν' εὐέλπιδες ἀπαλλάττων-
B ται, βραχὺ τῆς εὐχαριστίας ἔδωκε τῷ παιδαρίῳ, ἀποβρέξαι κε-
λεύσας καὶ τῷ πρεσβύτῃ κατὰ τοῦ στόματος ἐπιστάξαι. ἐπανῆκεν
V. 298 ὁ παῖς φέρων. ἐγγύς τε γενομένῳ τῷ παιδὶ πρὶν τοῦ εἰσελθεῖν
ἀνενέγκας πάλιν ὁ Σαραπίων, ἧκες, ἔφη, τέκνον; καὶ ὁ μὲν
πρεσβύτερος ἐλθεῖν οὐκ ἠδυνήθη· σὺ δὲ ποίησον ταχέως τὸ προσ-
ταχθὲν, καὶ ἀπαλλάττομαι. ἀπέβρεξεν ὁ παῖς καὶ ἅμα ἐνέχεε τῷ
στόματι, καὶ μικρὸν ἐκεῖνο καταβροχθίσας εὐθέως ἀπέδωκε τὸ

1] Cap. 44. 3. γέρων om. G. 15. βραχὺ τῆς] βραχύ τι G.
21. καταβροχθίσας ex Eusebio. Vulgo κατὰ βροχήσας.

Ex epistola Dionysii ad Fabium adversus Novatum.

Unum hoc exemplum apud nos visum narrabo. Serapion eiusdem nobiscum fidei consors, plures vitae annos summa cum integritate versatus, ingruente persecutionis procella lapsus, pacem deinde precatus, a nemine, quippe qui immolasset, admittebatur. Morbo postmodum correptus continuis tribus diebus vocis sensusque expers iacebat. Viribus autem circa diem quartum resumptis nepotem arcessit; et, usquequo, ait, fili mi, me detinetis? Festinate, precor, et quantocius me dimitte. Presbyterum aliquem huc advoca. Paucis ita loquuto usus loquelae rursum adimitur. Ad presbyterum puer se confert. Profunda nox incumbebat; presbyter infirmus, convenire non potuit. Lege tamen a me posita iam iam e vita migraturos, si opus haberent, atque instantius petiissent, dato viatico dimitti, ut spe bona firmati decederent; modicam eucharistiae particulam puello tradit presbyter et liquore prius madefactam in senioris os infundere praecepit. Redit itaque puer perlata secum sacramenti particula; eidemque foribus iam proximo, nondum tamen pedem in domum inferenti, derepente sensu reparato: „venisti," inquit, „fili"; presbyter licet venire non potuerit; tamen, quod iniunctum est, exsequere, mox quiete decedam. Madefacit puer particulam et confestim in os immisit. Ille sensim deglutiens, nulla mora reddidit animam. Annon liquet ad horam illam vitam viro



πνεῦμα. ἆρ' οὐκ ἐναργῶς διετηρήθη καὶ παρέμεινεν ἕως λυθῇ,
καὶ τῆς ἁμαρτίας ἐξαλειφθείσης ἐπὶ πολλοῖς οἷς ἔπραξε καλοῖς
ὁμολογηθῆναι δυνηθῇ;
C
Ἐπέστειλε δὲ αὐτῷ Ναυατιανῷ πρὸς λέξιν ὧδέ πως· Διονύ-
σιος Ναυατιανῷ ἀδελφῷ χαίρειν. εἰ ἄκων, ὡς φῄς, ἤχθης,
δείξεις, ἐὰν ἀναχωρήσῃς ἑκών. ἔδει μὲν γὰρ καὶ πᾶν ὁτιοῦν
παθεῖν ὑπὲρ τοῦ μὴ διακόψαι τὴν ἐκκλησίαν τοῦ θεοῦ· καὶ ἦν
οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν τοῦ μὴ εἰδωλολατρῆσαι γενομένης ἡ
ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία· κατ' ἐμὲ δὲ καὶ μείζων. ἐκεῖ μὲν
γὰρ ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς
ἐκκλησίας μαρτυρεῖ. καὶ νῦν δὲ εἰ πείσαί σε εἰ βιάσαιο τοὺς ἀδελ-
φοὺς εἰς ὁμόνοιαν ἐλθεῖν, μεῖζον ἔσται σοι τοῦ σφάλματος τὸ D
κατόρθωμα, καὶ τὸ μὲν οὐ λογισθήσεται, τὸ δὲ ἐπαινεθήσεται.
εἰ δὲ ἀπειθούντων ἀδυνατοίης, σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν.
ἐρρῶσθαί σε ἐχόμενον τῆς εἰρήνης ἐν κυρίῳ εὔχομαι. θαυμασίως
διὰ βραχέων μὲν λόγων, συνεκτικωτάτων δὲ ἐννοιῶν ὁ θεῖος
Διονύσιος πᾶσαν πανουργίαν ἀπέκλεισε τῷ Ναυάτῳ πρόφασιν αἰ-
τιωμένῳ τὴν τῶν ἀδελφῶν ἔνστασιν καὶ οὐ τὴν ἰδίαν θρασύτητα,
τῆς κατὰ Ῥώμην ἐκκλησίας ἀπόσχισιν. ἀλλὰ καὶ τοῖς κατ' Αἴ-
γυπτον ὁ αὐτὸς ἱερώτατος γράφει Διονύσιος περὶ μετανοίας καὶ P. 375
τῆς τῶν ἐν τῷ διωγμῷ παραπεσόντων ἀποδοχῆς μετὰ τὴν ἐπι-
στροφὴν τὰς τῶν παραπτωμάτων τάξεις ἄριστα διεξελθὼν, καὶ

8. τοῦ μὴ εἰδ.] τοῦ om. G. 9. μαρτυρία ex Eusebio. Vulgo μαρ-
τυρίαν. 20. Διονύσιος om. G. 21. ἐπιστροφὴν] ἀποστροφὴν G.

conservatam, ac tam diu remansisse inter vivos, donec in pace dimitteretur et abstersa peccati labe bonorum operum mercedem accepturus fidem denuo profiteretur?

Novato porro eidem haec verbis totidem Dionysius scripsit. Novato fratri salutem. Invitum, ut ais, a nobis abductum, si sponte redieris, declarabis. Oportuerat sane quodvis aliud incommodum potius pati, quam discidiis dei ecclesiam deturpare; neque vero eo quod iam latum, ne idolis offerretur sacrificium, aliud, ne dividatur ecclesia, perferendum martyrium minorem apud me promeretur laudem; quin immo, me iudice, maiorem etiam expetit. Illic namque in unius animae suae commodum, hic pro ecclesia universa tormenta sustinet. Nunc certe si suaseris, vel etiam fratres vi adegeris, ut in concordiam redeant, culpam admissam correctio superabit; et illa quidem non imputabitur; neque haec laude sua privata supererit. Si contumaces in salutem evincere nequeas, ipse tuam animam servato. Te, si pacem amplectaris, in domino valere opto. Paucis quidem verbis et sententiis crebro rationum acumine instructis omnem fraudis facilitatem Novato fratrum urgentem instantiam, non contumaciam, quae divisionis ab ecclesia Romana causa fuit, propriam praetendenti divinus Dionysius interclusit. Quin etiam ad eos qui erant in Aegypto sacerrimus idem Dionysius scribit epist. de poenitentia et lapsis, deque lapsis iisdem in persecutione post conversionem recipiendis, qua cunctos criminum gra-

πρὸς Κόλλωνα τῆς ἐρήμου πολιτῶν πόλεως ἐπίσκοπον ἐξαίρετον περὶ μετανοίας γραφὴν πεποίηται· καὶ ἄλλην ἐπιστρεπτικὴν πρὸς Ἀλεξανδρέας, καὶ ἑτέραν περὶ μαρτυρίου πρὸς Ὠριγένην, ὥς φησιν, οὐ μὴν ἀλλὰ καὶ Λαοδικεῦσι Θηλυμίδρους ἐπισκοποῦντος αὐτῶν, Ἀρμενίοις τε Μερουζάνους προεστῶτος αὐτῶν ἐπισκοπῆς. ἐπειδὰν δὲ Ἕλενος Ταρσοῦ Κιλικίας ἐπίσκοπος καὶ οἱ σὺν αὐτῷ Φιρμιλιανός τε Καππαδοκίας καὶ Θεόκτιστος Παλαιστίνης
B ἐπίσκοποι γράμμασι Διονύσιον τοῦτον ἐδυσώπουν συνελθεῖν αὐτοῖς ἐν Ἀντιοχείᾳ διασκεψόμενον σὺν αὐτοῖς τὰ περὶ Ναυάτου, Φαβίου ἐπισκόπου Ἀντιοχείας καὶ ἄλλων τινῶν ὑποκατακλινομένων τῷ σχίσματι, δεξάμενος παρὰ Κορνηλίου ἐπισκόπου Ῥώμης τὴν κατὰ Ναυάτου ἐπιστολήν, ἀντιγράφει αὐτῷ δηλῶν καὶ τὰς παρακλήσεις τῶν εἰρημένων ἀνδρῶν. ἀλλ᾽ ἐν τούτοις Φαβίου κοιμηθέντος Δημητριανὸς ἐπίσκοπος Ἀντιοχείας καθίσταται. Διονύσιος δὲ καὶ ἄλλαις διαφόροις ἐπιστολαῖς καὶ λόγοις ἱεροῖς σπουδαίως τὴν Ῥωμαίων μάλιστα ἐκκλησίαν συνιστᾶν ὑπὸ Ναυάτου ταραττομένην ἠγωνίζετο, τὸν περὶ μετανοίας πρεσβεύων ἁπανταχοῦ καὶ ὁμονοίας λόγον, ἐν οἷς καὶ διακονικὴν ἐπιστολὴν
C περὶ εἰρήνης δι᾽ Ἱππόλυτον γράφει Ῥωμαίοις, καὶ ἄλλοις περὶ
V. 299 μετανοίας, τοῖς τε συμπεριφερομένοις ὁμολογηταῖς τῇ τοῦ Ναυάτου πλάνῃ ἰδίαν, καὶ δύο τοῖς ἐξ αὐτῶν ὁμολογητῶν ἀποστᾶσιν αὐτοῦ καὶ τῇ ἐκκλησίᾳ ἑνωθεῖσι.

3. Ἀλεξανδρείας G. 10. κατακλινομένων G. 11. σχίσματι] Vulgo σχήματι. Correxi ex Eusebio. 15. διαφοραῖς G. 19. ἄλλοις] ἄλλην G. 21. τοῖς P. ταῖς G. ἀποστᾶσιν m. ἀπόστασιν G.

dus accurate percenset; aliam insuper egregiam de poenitentia ad Cononem Hermopolitanum praesulem dedit, nec non ad Alexandrinos alteram in idem argumentum exhortatoriam, quibus eam, quae, ut ipse testatur, de martyrio inscribitur, ad Origenem addidit; sed et ad Laodicenos, quorum antistes erat Thelymidres, et tandem ad Armenios, quibus Meruzanes praeerat episcopus alias dedit. Caeterum Heleno Tarsi Ciliciae praesuli et opinionis eiusdem consciis Firmiliano Cappadociae et Theoctisto Palaestinae, ut ad ipsos Antiochiam profectus, quae de Novato sentienda forent, discuterent, litteris compellentibus; cum iam Fabius ecclesiae Antiochenae episcopus, cum quibusdam aliis nonnihil in schisma propenderet, acceptis a Cornelio Romae episcopo in Novatum aliis litteris, respondet ipse, et de solamine a viris talis obventuro reddit certiorem. Interim Fabio e vita migrante, Demetrianus Antiochiae praeficitur. Dionysius autem, qua scriptis litteris, qua sacris tractatibus editis ecclesiam Romanam a Novato concussam confirmare moliebatur, ac de poenitentia et concordia sermones passim habebat; in quibus epistolam de pace Diaconicam per Hippolytum ad Romanos scriptam, aliam item de poenitentia et ad confessores Novati sententia circumventos dedit privatam; eiusdem demum aliae duae ad confessores a Novato discedentes et ecclesiae denuo coniunctos circumferuntur.



## ΚΟΣΜΟΥ ΕΤΗ ,εψμς'.

### Τῆς θείας σαρκώσεως ἔτη σμς'.

Ῥωμαίων κε' ἐβασίλευσε Γάλλος καὶ Βουλουσιανός.
Ῥωμαίων εἰκοστὸς δεύτερος ἐπίσκοπος Κορνήλιος ἔτη γ'. D
Ῥωμαίων εἰκοστὸς τρίτος ἐπίσκοπος Λούκιος ἔτη β'.
Ναυᾶτος αἱρεσιάρχης πρεσβύτερος Ῥώμης ἐγνωρίζετο.
Ἀντιοχείας τρισκαιδέκατος ἐπίσκοπος Φαβιανὸς ἔτη θ'.
Ἀλεξανδρείας ιδ' ἐπίσκοπος Διονύσιος ἔτη ιζ'.
Ἱεροσολύμων λζ' ἐπίσκοπος Μαζαβάνης ἔτη κα'.

Σκύθαι περαιωθέντες οἱ λεγόμενοι Γότθοι τὸν Ἴστρον ποτα- P. 376
μὸν ἐπὶ Δεκίου πλεῖστοι τὴν Ῥωμαίων ἐπικράτειαν κατενέμοντο. οὗτοι τοὺς Μυσοὺς φεύγοντας εἰς Νικόπολιν περιέσχον· Δέκιος δὲ ἐπελθὼν αὐτοῖς, ὡς Δέξιππος ἱστορεῖ, καὶ τρισμυρίους κτείνας ἐλαττοῦται κατὰ τὴν μάχην, ὡς καὶ τὴν Φιλιππούπολιν ἀπολέσαι ληφθεῖσαν ὑπ᾽ αὐτῶν καὶ Θρᾷκας πολλοὺς ἀναιρεθῆναι. ἐπανιοῦσι δὲ Σκύθαις ἐπὶ τὰ σφέτερα ὁ αὐτὸς Δέκιος ἐπιθέμενος ἀναιρεῖται ἐν Ἀβρύτῳ, τῷ λεγομένῳ φόρῳ Θεμβρωνίῳ, σὺν τῷ παιδὶ διὰ νυκτὸς ὁ θεομάχος. οἵ τε Σκύθαι μετὰ πλείστων αἰχμαλώτων καὶ λαφύρων ἐπανέρχονται. καὶ τὰ στρατόπεδα βασιλέα B
πάλαι τινὰ γενόμενον ὕπατον Γάλλον ἀναγορεύουσιν ἅμα Βουλουσιανῷ τῷ Δεκίου παιδί· οἳ καὶ βασιλεύουσι, κατὰ Δέξιππον, μῆ-

3. Βολλουσιανὸς G. 5. λούκιος AP. Λόγκιος G. 11. πλεῖστοι P. πλείστοις G. τὴν A. τῶν G. 14. φιλιππόπολιν G. 20. Vulgo Βουλουσιανοῦ. Correxit Scaliger p. 85. 21. τῷ] τοῦ G.

## ANNI MUNDI 5746.

### Divinae Incarnationis an. 246.

Romanorum Imperator 25 Gallus una cum Volusiano.
Romanorum episcopus 22 Cornelius annis 3.
Romanorum episcopus 23 Lucius annis 2.
Novatus presbyter haeresiarcha Romae agnoscebatur.
Antiochiae episcopus 13 Fabianus annis 9.
Alexandriae episcopus 14 Dionysius annis 17.
Hierosolymorum episcopus 37 Mazabanes annis 21.

Scythae, qui et Gotthi, Istro traiecto, Romanum imperium sub Decio
depopulantur. Hi Mysos Nicopolin se recipientes obsident. Decius, ita
referente Dexippo, illos ex improviso adortus ad tria millia prosternit, e
praelio licet inferior Philippopoli capta exierit Thracesque plurimi in cer-
tamine perierint. Scythas porro in provinciam se referentes ad Abrytum
urbem, Terebronii Forum dictam, dei hostis Decius insequens, una cum
filio noctu trucidatur. Scythae captivis abductis, supellectilisque immensae
copiae compotes facti lares patrios repetunt. Gallum quendam exconsu-
lem et cum eo Volusianum Decii filium milites salutant Imperatorem. Isti,
Dexippo teste, mensibus octodecim, iuxta nonnullos annis tribus, ex alio-

νας ιη', πράξαντες οὐδὲν ἀξιόλογον· κατὰ δὲ ἄλλους τινὰς ἔτη γ', καὶ καθ' ἑτέρους ἔτη β'. ἐσφάγησάν τε προδοθέντες ὑπὸ τῆς ἰδίας δυνάμεως ἐν ἀγορᾷ Φλαμενίου τῆς αὐτῆς κακοτροπίας ἐχόμενοι τῷ Δεκίῳ, ὥς πού φησιν ὁ μακάριος Ἀλεξανδρείας ἐπίσκοπος Διονύσιος Ἑρμαμμωνῇ γράφων περὶ τοῦ Γάλλου. ἀλλ' οὐδὲ ἐκεῖνος ἔγνω τὸ Δεκίου κακὸν, οὐδὲ προεσκόπησε τί ποτε ἐκεῖνος C ἔσφηλεν, ἀλλὰ πρὸς τὸν αὐτὸν πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ γενόμενον ἔπταισε λίθον· ὃς εὐφραινομένης αὐτῷ τῆς βασιλείας καὶ κατὰ νοῦν χωρούντων τῶν πραγμάτων καὶ τοὺς ἱεροὺς ἄνδρας τοὺς περὶ τῆς εἰρήνης αὐτῷ καὶ τῆς ὑγιείας πρεσβεύοντας πρὸς τὸν θεὸν ἡμῶν ἤλασεν. οὐκοῦν σὺν ἐκείνοις ἐδίωξε καὶ τὰς ὑπὲρ αὐτοῦ προσευχάς.

Τούτοις τοῖς χρόνοις ὁ μέγας καὶ θαυματουργὸς Γρηγόριος ἐν τελειότητι τῆς κατὰ Χριστὸν φιλοσοφίας διέλαμπεν, οὗ μνήμην ἁρμόζουσαν ὁ Καισάριος Εὐσέβιος οὐκ οἶδα τίνος ἕνεκα, καίπερ Ὠριγένους τοῦ δυσσεβοῦς ἀλόγοις ἐνδιατρίψας ἐγκωμίοις, οὐ πεποίηται, τοῦ καθ' ὅλης τῆς οἰκουμένης ἐξηχουμένου θείοις τε D λόγοις καὶ τέρασιν ἐξαστράπτοντος, ὡς καὶ αὐτοῖς δαίμοσι προστάττειν οἷά τισιν ἀνδραπόδοις, διὰ πολλὴν πρὸς θεὸν παρρησίαν καὶ βίου καὶ λόγου καθαρότητα. νομίζω δὲ τὸν Εὐσέβιον τὸ τῆς θείας ἀρετῆς τοῦ θαυματουργοῦ καὶ θεοφόρου Γρηγορίου μέγεθος σιωπῆσαι διὰ τὸ πανταχοῦ τῶν δογμάτων ἀκέραιον καὶ ἀλλότριον τῶν Ὠριγένους ληρημάτων καὶ τῶν Ἀρείου βλασφημιῶν, οἷς Εὐσέβιος ἐλελώβητο.

5. Διονύσιος om. G. 16. οὐδὲ ποιεῖται G.

rum calculis, duobus, nullo quod laudem sibi conciliet, facinore edito, simul imperarunt; quin immo iisdem, quibus Decius, flagitiis inhaerentes, a propriis copiis proditi in Foro Flaminii occiduntur, ut de Gallo ad Hermammonem beatus Dionysius Alexandriae praesul scriptum reliquit. Sed neque Decii fortunam adversam ipse perpendit, nec in quo peccarat, advertit; quin etiam in subiectum oculis lapidem eundem offendit; Romanae quippe rei publicae gratus et rerum successu laetus, sacros viros de pace et salute interpellantes ad deum transmisit et una cum illis pro se oblatas preces avertit.

Hac aetate magnus et miraculorum patrator Gregorius Christianae philosophiae perfectione splendebat, quo dignam memoriam Caesariensis Eusebius, (cuius tamen causa ignotum hactenus), putidis licet et a ratione alienis impii Origenis laudibus immoretur, nullam facit; eius, inquam, cuius nomen per orbem universum auditur, quique divinis verbis prodigiisque adeo claruit, ut ex ea quam habuit in deum fiducia, morumque ac sermonum puritate, daemonibus ipsis tanquam mancipiis imperarit. Eusebium autem Thaumaturgi deiferique patris Gregorii divinam virtutem silentio praeteriisse arbitror, propter incerta passim et a fide aversa Origenis deliria et Arii, qua Eusebius erat infectus, blasphemam sententiam.



Ὁ αὐτὸς Εὐσέβιος καὶ τὸ Κυπριανοῦ τοῦ μεγάλου Καρθα- [V. 300] γένης τῆς κατὰ Λιβύην ἐπισκόπου καὶ μάρτυρος σεσίγηκε μαρτύριον κατὰ Γάλλον καὶ Βουλουσιανὸν, εἰσάγων αὐτὸν περιεῖναι τῷ βίῳ καὶ τὴν ἐν Καρθαγένῃ σύνοδον συστησάμενον κατὰ τῶν μὴ δεχομένων τινὰς τῶν ἐξ αἱρέσεων ἀναβαπτίζεσθαι, παλαιοῦ, φησίν, ἔθους κεκρατηκότος ἐν τῇ ἐκκλησίᾳ μόνῃ τῇ διὰ τῶν χειρῶν ἐπιθέσει τούτους καθαίρειν καὶ εὐχῇ. ὁ δέ γε θεολογικώ- [P. 377] τατος Γρηγόριος ὁ Ναζιανζοῦ ἐν τῷ εἰς Κυπριανὸν λόγῳ κατὰ Δέκιόν φησιν αὐτὸν τελειωθῆναι.

Τότε Ζηνοβία κατὰ Ῥωμαίων ἐπαίρεται, δύναμιν ἀθροίσασα πλείστην, καὶ Αἰγύπτου κρατεῖ, Πρόβον ἀνελοῦσα τὸν ἐκεῖ τότε στρατηγοῦντα Ῥωμαίων. ταύτην τὴν ἀκοὴν Αὐρηλιανὸς οὐκ ἐνεγκὼν ἔρχεται μετὰ στρατιᾶς καὶ πλησίον Ἀντιοχείας P. 385 τῆς κατὰ Συρίαν ἐν Ἴμμαις καλουμένῳ χωρίῳ, τοὺς μὲν Παλμυρηνοὺς διαφθείρει, Ζηνοβίαν δὲ χειρωσάμενος εἰς Ῥώμην ἤγαγε καὶ φιλανθρωπίᾳ χρησάμενος πολλῇ συνάπτει ταύτην ἐνδόξως ἀνδρὶ τῶν ἐν γερουσίᾳ.

Κρατεῖ δὲ καὶ Γάλλων κινηθέντων τότε.

Ὁρμήσας δὲ καὶ ἐπὶ Σκύθας ὑπὸ τῆς ἰδίας στρατιᾶς ἀναιρεῖται στάσει περιπεσὼν μεταξὺ Βυζαντίου καὶ Ἡρακλείας ἐν τῷ καινῷ λεγομένῳ φρουρίῳ τῶν Θρᾳκῶν, μέλλων τινὰ κατὰ Χριστιανῶν κινεῖν διωγμόν.

Ὁ δ' αὐτὸς καὶ Ἡλίου ναὸν ἐν Ῥώμῃ κατεσκεύασε χρυσῷ καὶ λίθοις ἀξιαγάστον.

Τὴν Τραϊανοῦ δὲ Δακίαν βαρβάροις ἀφεὶς ἄνδρας καὶ γυ- B

2. Addidi ἔτη. 3. κη' Barber. εἰκοστὸς ἕβδομος G. 7. Vulgo ἀθροίσας.

## ANNI MUNDI 5764.

DIVINAE INCARNATIONIS AN. 264.

Romanorum Imperator 29 Aurelianus annis 6.

Aurelianus Palmyrenos subiugavit et Galliam sibi subiecit; cuius etiam tempore Philostratum Atheniensem historiarum scriptorem et Longinum floruisse narrant.

Sub id quoque tempus Zenobia collecto ingenti exercitu in Romanos insurgit, et perempto Romanorum duce Probo, Aegyptum sibi vindicat. Auditam cladem non ferens Aurelianus, educto exercitu in eam proficiscitur, et ad Antiochiam Syriae, loco cui nomen Immae, Palmyrenos profligat, Zenobiam bello captam Romam adducit; clementiaque plurima in eam usus senatorii ordinis viro honorato coniugio eandem locat.

Gallos eo tempore motos armis Aurelianus obtinet.

Profectione quoque in Scythas suscepta, ab exercitu proprio in ipsum tumultuante interficitur, loco cuius praesidium novum nomen est, Byzantium inter et Heracleam, cum persecutionem in Christianos movere meditaretur.

Idem solis templum auro lapidibusque ornatum Romae construxit.

Dacia porro Traiani nomine barbaris relicta, viros ac mulieres sinum

ναῖκας εἰς τὸ μεσαίτατον τῆς Μυσίας στήσας ἑκατέρωθεν, Δακίαν δὲ μέσην νομίζεσθαι.

Περσῶν πέμπτος Οὐραράκης ἐβασίλευσεν ἔτη ιζ'.

Ῥώμης κς' Διονύσιος ἐπίσκοπος ἔτη η'.

Ἀντιοχείας ἑκκαιδέκατος ἐπίσκοπος Δόμνος ἔτη γ'.

Ἀντιοχείας ἐπίσκοπος ιζ' Κύριλλος ἔτη ιε'.

C Ἀλεξανδρείας πεντεκαιδέκατος ἐπίσκοπος Μάξιμος ἔτη η'.

Ἱεροσολύμων τριακοστὸς ἕβδομος Μαζαβάνης ἔτη κα'.

V. 307

## ΚΟΣΜΟΥ ΕΤΗ ,εψξε'.

### Τῆς θείας σαρκώσεως ἔτη σξε'.

Ῥωμαίων κθ' βασιλεὺς Αὐρηλιανὸς ὁ προγεγραμμένος ἔτη ς'.

Τῷ ς' αὐτοῦ ἔτει Αὐρηλιανὸς μέλλων διωγμὸν κινεῖν κατὰ Χριστιανῶν θείῳ κεραυνῷ διακωλύεται. συσκευῆς δὲ γενομένης D περὶ αὐτοῦ ἐκ τῶν κατ' αὐτὸν ἐδολοφονήθη ἐν καινῷ φρουρίῳ.

Μεθ' ὃν βασιλεύει Τάκητος μῆνας ς'.

Οὗ σφαγέντος ἐν Πόντῳ βασιλεὺς Φλωριανὸς ἡμέρας πη'.

Οὗ σφαγέντος ἐν Ταρσῷ βασιλεύει Πρόβος ἔτη ς', μῆνας δ'.

Ὁμοῦ γίνονται ἔτη ζ'.

6. ιζ' addidit m. 15. μῆνας P cum Eusebio p. 393. Vulgo ἔτη. 16. Φλωριανὸς Eusebius p. 393. Vulgo Φιλοριανός. 18. γίνονται m. γινόμεναι G.

Mysiae medium iussit incolere, Mysis nimirum eos hinc inde ambientibus, spatioque medio recenti dictione Dacia vocato.

Persarum rex 5 Uraraces regnavit annis 17.

Romae episcopus 26 Dionysius annis 8.

Antiochiae episcopus 16 Domnus annis 3.

Antiochiae episcopus 17 Cyrillus annis 15.

Alexandriae episcopus 15 Maximus annis 8.

Hierosolymorum episcopus 37 Mazabanes annis 21.

## ANNI MUNDI 5765.

### Divinae Incarnationis an. 265.

Romanorum Imperator 29 Aurelianus supra memoratus annis 6.

Anno imperii sexto Aurelianus in Christianos persecutionem moturus fulmine caelitus misso cohibetur; insidiis deinde domesticorum ad praesidium novum occiditur.

Post eum Tacitus mensibus 6 imperat.

Tacito in Ponto occiso Florianus Imperator constituitur diebus 88.

Eo Tarsi interfecto regnat Probus annis 6, mensibus 4.

Summa est annorum 7.



## ΚΟΣΜΟΥ ΕΤΗ ,εψο'.

### Τῆς θείας σαρκώσεως ἔτη σο'.

Τῷ τρίτῳ ἔτει Πρόβου Ἀνατόλιος ὁ Λαοδικείας ἐπίσκοπος P. 386 φιλοσόφοις μαθήμασι διαπρέπων ἐγνωρίζετο.

Τῷ δ' ἔτει Πρόβου ἡ τῶν μανέντων Μανιχαίων πανώλεθρος ἀπώλεια τῷ τῶν ἀνθρώπων παρεισήχθη βίῳ.

Τῷ ς' ἔτει Πρόβου Σατορνῖνος στρατοπεδάρχης τὴν καινὴν Ἀντιόχειαν ἤρξατο κτίζειν, ὃς ὕστερον ἐπαναστὰς τῇ Ῥωμαίων ἀρχῇ ἐσφάγη ἐν Ἀπαμείᾳ ὑπὸ τῶν ἰδίων. Πρόβος ἐσφάγη ἐν Σιρμείῳ.

Ῥωμαίων βασιλεὺς λβ' Κᾶρος σὺν τοῖς παισὶ Καρίνῳ καὶ Νουμεριανῷ ἔτη β'.

## ΚΟΣΜΟΥ ΕΤΗ ,εψοε'. B

### Τῆς θείας σαρκώσεως ἔτη σοε'.

Τῷ πρώτῳ ἔτει Καρίνου ἐλθόντος Νουμεριανοῦ ἐν Ἀντιοχείᾳ, καὶ θελήσαντος εἰσελθεῖν ἐν τῇ ἐκκλησίᾳ καὶ κατασκοπῆσαι τὰ τῶν Χριστιανῶν μυστήρια, ὁ ἅγιος Βαβυλᾶς ἐκώλυσεν αὐτὸν λέγων· οὐκ ἔξεστί σοι ἰδεῖν τὰ τῶν Χριστιανῶν μυστήρια μεμολυσμένῳ ὄντι ἐκ τῶν εἰδωλικῶν θυσιῶν. καὶ ἀγανακτήσας Νουμεριανὸς ἐφόνευσεν αὐτόν.

2. ἔτη addidi. 5. Τῷ δὲ δ' G. 7. Σατουρνῖνος G. 9. ὑπὸ — ἐσφάγη addidi ex P. 10. σιρμείῳ P. Σαρμίῳ G. 11. βασιλεῖς A. λβ'] λδ' m. 13 et 14. ,εψοζ' et σοζ' m.

## ANNI MUNDI 5770.

### Divinae Incarnationis an. 270.

Anno Probi tertio Anatolius Laodiceae episcopus philosophicis disciplinis illustris agnoscebatur.

Anno vero Probi eiusdem quarto insanientium Manichaeorum noxia pernicies in hominum notitiam invecta est.

Anno Probi sexto Saturninus magister exercitus novam Antiochiam condere adorsus est; qui demum imperium occupare molitus, Apameae necatus est.

Probus Sirmii occiditur.

Romanorum Imperator 34 Carus cum filiis Carino et Numeriano annis 2.

## ANNI MUNDI 5777.

### Divinae Incarnationis an. 277.

Anno Carini primo, Numeriano Antiochiam profecto, ecclesiamque, ut Christianorum sacra perspiceret, ingredi volenti sanctus Babylas obstitit, dicens: tibi idolorum victimis contaminato Christianorum mysteria non licet intueri; ex quo indignatus Numerianus eum occidit.

Ῥωμαίων κζʹ ἐπίσκοπος Φῆλιξ ἔτη εʹ.

C Τῆς Ῥωμαίων ἐκκλησίας μετὰ Φήλικα γέγονεν Εὐτυχιανὸς μῆνας ηʹ.

Μεθ᾽ ὃν Γάϊος κθʹ ἐπίσκοπος ἔτη ιεʹ.

Ἀντιοχείας ιδʹ ἐπίσκοπος Κύριλλος ἔτη ιεʹ.

Ἀλεξανδρείας πεντεκαιδέκατος Μάξιμος ἔτη ιηʹ.

Ἀλεξανδρείας ἑκκαιδέκατος ἐπίσκοπος Θεωνᾶς ἔτη ιηʹ.

Ἱεροσολύμων τριακοστὸς ὄγδοος ἐπίσκοπος Ὑμέναιος ἔτη ιβʹ.

## ΚΟΣΜΟΥ ΕΤΗ ͵εψοςʹ.

D
V. 308

### Τῆς θείας σαρκώσεως ἔτη σοςʹ.

### Τὰ ὑπόλοιπα τοῦ Ῥωμαίων βασιλέως Κάρου.

Τῷ βʹ αὐτοῦ ἔτει Κᾶρος ἀνὴρ Γαλάτης ἀνδρεῖος ὑπάρχων ἐχειρώσατο Σαρμάτας ἐπαναστάντας. πολεμήσας δὲ καὶ Πέρσαις παρέλαβε Κτησιφῶντα, ὃς παρὰ τῷ ποταμῷ Τίγριδι διαστρατοπεδευόμενος κεραυνοῦ κατασκήψαντος ἀθρόως ἅμα τῇ σκηνῇ διαφθείρεται.

Μεθ᾽ ὃν ὁ Νουμεριανὸς υἱὸς αὐτοῦ βασιλεύει λʹ μόνας ἡμέρας. ἐπανιὼν γὰρ ἐκ Περσῶν καὶ ὀφθαλμιάσας ὑπὸ τοῦ ἰδίου πενθεροῦ φονεύεται, τὴν μὲν προσηγορίαν Ἄπερος, ἐξάρχου δὲ

1. Φῆλιξ m. Φίλιξ G. 2. Vulgo Φίλικα. 4. κθʹ m. κηʹ G. ἔτη m. ἐν ἔτει G. 5. ιδʹ] ιζʹ m. ἐπίσκοπος om. G. 6. πεντεκαιδέκατος] ἐπίσκοπος add. G. 7. ιηʹ] ιθʹ A. 8. ὑμέναιος P. Ὑμενος G. 9 et 10 ͵εψοηʹ et σοηʹ m. 12. Τῷ αὐτῷ ἔτει G. 13. δὲ καὶ] δὲ om. G.

Romae episcopus 27 Felix annis 5.
Romanorum ecclesiae post Felicem pontifex fuit Eutychianus mensibus 8.
Post quem Caius episcopus 29 annis 15.
Antiochiae episcopus 17 Cyrillus annis 15.
Alexandriae episcopus 15 Maximus annis 18.
Alexandriae episcopus 16 Theonas annis 18.
Hierosolymorum episcopus 38 Hymenaeus annis 12.

## ANNI MUNDI 5778.

### Divinae Incarnationis an. 278.

### Cari Romanorum Imperatoris reliqua gesta.

Eodem anno Carus in Gallia natus virtute praestans Sarmatas rebelles edomuit; belloque in Persas moto Ctesiphontem recepit, et ad Tigrim fluvium castra metatus, subito fulminis ictu in tentorio exstinguitur.

Post eum Numerianus filius solis diebus triginta imperat. E Persia quippe reversus oculorum morbo laborans, a proprio socero, erat ei nomen



κατὰ τὸ στρατόπεδον ὄντος καὶ βασιλεῦσαι σπουδάσαντος, πλὴν P. 387 ἀλλὰ τῆς ἐλπίδος ἀποτυχόντος, ἡ στρατεία γὰρ πᾶσα Διοκλητιανὸν ἀνηγόρευσε βασιλέα συστρατευσάμενον τῷ Κάρῳ, τότε καὶ πολλὴν ἀνδρείαν ἐπιδειξάμενον, Δαλμάτην τὸ γένος, καὶ τῆς συγκλήτου βουλῆς μετέχοντα ἐν ὑπατείαις ἠξιωμένον. ἦν δὲ τότε κατὰ τὴν Ῥώμην Καρῖνος ὁ Κάρου παῖς ὑπὸ τοῦ πατρὸς ἐκεῖ καταλειφθεὶς, ἡνίκα ἐπὶ Πέρσας ἐστράτευσε, χαλεπὸς τοῖς Ῥωμαίοις φανείς. Διοκλητιανὸς δὲ παραλαβὼν τὴν ἀρχὴν τὸν μὲν ὕπαρχον Ἄπερα τὸν τοῦ Νουμεριανοῦ σφαγέα παραχρῆμα φονεύει, τὸν δὲ Καρῖνον ἀδίκως τῇ ἀρχῇ χρώμενον ἀναζεύξας εἰς Ῥώμην ἀναιρεῖ. καὶ ἄριστος κατὰ πᾶσαν τὴν ἡγεμονίαν φα- B νεὶς τοῖς Ῥωμαίοις ἐβασίλευσεν κʹ χρόνους.

Ῥώμης ἐπίσκοπος κηʹ Γάϊος ἔτη ιεʹ.

Ἀντιοχείας ἐπίσκοπος ιθʹ Κύριλλος ἔτη ιεʹ.

Ἀλεξανδρείας ιςʹ ἐπίσκοπος Θεωνᾶς ἔτη ιθʹ.

Ἱεροσολύμων ληʹ ἐπίσκοπος Ὑμέναιος ἔτη δώδεκα.

### Ἐκ τῆς ἐκκλησιαστικῆς συγγραφῆς Εὐσεβίου τοῦ Παμφίλου περὶ Παύλου τοῦ Σαμοσατῶν καὶ τῆς κακίας αὐτοῦ. C

Ἐν τούτῳ δὲ καὶ Δημητριανοῦ κατὰ Ἀντιόχειαν τὸν βίον μεταλλάξαντος τὴν ἐπισκοπὴν Παῦλος ὁ Σαμοσατῶν παραλαμβά-

3. Κάρῳ m. Καιρῷ G. 5. μετέχοντα om. G. ἐξ ὑπατείας P. 6. ὁ Καρῖνος ὁ G. 7. καταληφθεὶς G. 9. ὕπαρχον] Ἔπαρχον G. τοῦ om. G. 14. ιθʹ] ιζʹ m. 16. Vulgo Τμένεος. 17. Εὐσεβίου] Histor. eccles. VII, 27. 20. τῆς ἐπισκοπῆς G.

Aper, exercitus totius legato tyrannidem affectante vita imperioque privatur; verum infelice successu. Diocletianum enim Dalmatia oriundum, Cari castra diutius sequutum, robore praestantem virum et senatorum ordini adlectum, ac consulari quoque dignitate conspicuum exercitus Imperatorem praeficit. Ea tempestate Carinus Cari filius a patre in Persas bellum moturo Romae relictus agrestis omnino et intolerandam potestatem in Romanos exercens morabatur. Diocletianus porro imperium adeptus, Apro Numeriani interfectori mortem infert, Romamque regressus, Carinum nequissimis moribus imperio abutentem tollit e medio; optimusque quamdiu vixit iudicatus Romanis annis 20 imperavit.

Romae episcopus 28 Caius annis 15.
Antiochiae episcopus 17 Cyrillus annis 15.
Alexandriae episcopus 16 Theonas annis 19.
Hierosolymorum episcopus 38 Hymenaeus annis 12.

### Ex Eusebii Pamphili ecclesiastica historia de Paulo Samosatensi et eius nequitia.

Interim Demetriano vita functo Paulus Samosatensis pontificatum susci-

νει. τούτου δὲ ταπεινὰ καὶ χαμαιπετῆ περὶ τοῦ Χριστοῦ παρὰ τὴν ἐκκλησιαστικὴν διδασκαλίαν φρονήσαντος, ὡς κοινοῦ τῆς φύσεως ἀνθρώπου γενομένου, ὁ μὲν κατὰ Ἀλεξάνδρειαν Διονύσιος παρακληθεὶς, ὡς ἂν ἐπὶ τὴν σύνοδον ἀφίκοιτο, γῆρας ὁμοῦ καὶ ἀσθένειαν τοῦ σώματος αἰτιασάμενος ἀνατίθεται τὴν παρου-
D σίαν δι' ἐπιστολῆς τὴν αὐτοῦ γνώμην ἣν ἔχει περὶ τοῦ ζητουμένου παραστήσας. οἱ δὲ λοιποὶ τῶν ἐκκλησιῶν ποιμένες ἄλλος ἄλλοθεν ὡς ἐπὶ λυμεῶνα τῆς Χριστοῦ ποιμνῆς συνῄεσαν οἱ πάντες ἐπὶ τὴν Ἀντιόχειαν σπεύδοντες. τούτων οἱ μάλιστα διέπρεπον Φιρμιλιανὸς μὲν τῆς Καππαδοκῶν Καισαρείας ἐπίσκοπος ἦν, Γρηγόριος δὲ καὶ Ἀθηνόδωρος ἀδελφοὶ τῶν κατὰ Πόντον παροικιῶν ποιμένες, καὶ ἐπὶ τούτοις Ἕλενος τῆς ἐν Ταρσῷ παροικίας καὶ Νικομᾶς τῆς ἐν Ἰκονίῳ, οὐ μὴν ἀλλὰ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας Ὑμέναιος, τῆς ὁμόρου ταύτης Καισαρείας Μάξιμος ἔτι πρὸς τούτοις, τῶν κατὰ Βῶστραν δὲ καὶ οὗτος ἀδελφῶν δια-
V. 309 πρεπῶς ἡγεῖτο· μυρίους τε ἄλλους οὐκ ἂν ἀπορήσαι τις ἅμα
P. 388 πρεσβυτέροις καὶ διακόνοις τῆς αὐτῆς ἕνεκεν αἰτίας ἐν τῇ προειρημένῃ πόλει συγκροτηθέντας ἀπαριθμούμενος· ἀλλὰ τούτων γε οἱ μάλιστα ἐπιφανεῖς οἷδε ἦσαν. πάντων οὖν κατὰ καιροὺς διαφόρως καὶ πολλάκις ἐπὶ ταὐτὸ συνιόντων λόγοι καὶ ζητήσεις καθ' ἑκάστην ἀνεκινοῦντο σύνοδον, τῶν μὲν ἀμφὶ τὸν Σαμοσατέα τῆς κακοδοξίας ἐπικρύπτειν ἔτι καὶ παρακαλύπτεσθαι πειρωμένων,

2. κοινοῦ] κοινῆς G. 4. ἐπὶ] εἰς G. ἀφίκοιτο P. ἀφίκοιντο G. 8. συνίεσαν G. 14. ὑμένεος A. Τμένεως G. 15. δὲ om. G. 16. Vulgo ἀποῤῥῆσαι. 19. διαφόρως om. G.

pit. Hic vili nimium et terram redolente sententia, ac si cum hominibus reliquis una fuerit ei communisque natura praeter receptam ecclesiae doctrinam de Christo dogma protulerat. Quare ut ad synodum convenerit rogatus Alexandriae praesul Dionysius senectutem viresque corporis infirmas causatus adventum differt, scripto vero propriam de re quaesitam opinionem exponit; pastores ecclesiae reliqui, alius aliunde, velut ad communem a Christi caula luem depellendam festinantes cuncti Antiochiam confluunt. Inter hos maxime praestabant Firmilianus Caesareae Cappadocum antistes, Gregorius et Athenodorus fratres ecclesiarum, quae sunt in Ponto pastores, quibus Helenus ecclesiae Tarsensis, et Nicomas Iconiensis episcopi adiuncti, Hymenaeus quoque Hierosolymorum, nec non Caesareae ei finitimae Theotecnus et Maximus insuper fratribus Bostrae civitatis insigniter praefectus; at licet aliorum, qui ad praedictam civitatem cum presbyteris et diaconis convenerunt multitudinem immensam vix emetiri dicendo quispiam possit; prae reliquis tamen hi maxime fuere conspicui. Cunctis igitur statuto tempore, redeuntibusque comitiis in locum eundem convocatis, dubia quaestionesque per conventus singulos agitabantur; et Samosatensis quidem sequaces depravatam eius vesaniam pro viribus tegere et oc-



τῶν δὲ ἀπογυμνούντων καὶ εἰς φανερὸν ἄγειν τὴν αἵρεσιν καὶ τὴν εἰς Χριστὸν βλασφημίαν αὐτοῦ διὰ σπουδῆς ποιουμένων. ἐν τούτῳ δὲ Διονύσιος τελευτᾷ κατὰ τὸ ιβ' τῆς Γαλιηνοῦ βασιλείας πρὸς τὰς τῆς κατὰ Ἀλεξάνδρειαν ἐπισκοπῆς ἔτεσι ιζ'. διαδέχεται δ' αὐτὸν Μάξιμος. Γαλιηνοῦ δὲ ἐφ' ὅλοις ἐνιαυτοῖς πεντεκαίδε- B κα τὴν ἀρχὴν κεκρατηκότος Κλαύδιος κατέστη διάδοχος. δεύτερον οὗτος διελθὼν ἔτος Αὐρηλιανῷ μεταδίδωσι τὴν ἡγεμονίαν.

Καθ' ὃν τελευταίας συγκροτηθείσης πλείστων ὅσων ἐπισκόπων συνόδου, φωραθεὶς καὶ πρὸς ἁπάντων ἤδη σαφῶς καταγνωσθεὶς ἑτεροδοξίαν ὁ τῆς κατὰ Ἀντιόχειαν αἱρέσεων ἀρχηγὸς, ἐκ τῆς ὑπὸ τῶν οὐρανῶν καθολικῆς ἐκκλησίας ἀποκηρύττεται. μάλιστα δ' αὐτὸν εὐθύνας ἐπικρυπτόμενον διήλεγξε Μαλχίων, ἀνὴρ τά τε ἄλλα λόγιος καὶ σοφίας ἀνάπλεως, τοῦ τῶν ἐπ' Ἀντιοχείας Ἑλληνικῶν παιδευτηρίου προεστὼς, οὐ μὴν ἀλλὰ καὶ C δι' ὑπερβάλλουσαν τῆς εἰς Χριστὸν πίστεως γνησιότητα πρεσβυτερίου τῆς αὐτόθι παροικίας ἠξιωμένος. οὗτός γέ τοι ἐπισημειωμένων ταχυγράφων ζήτησιν πρὸς αὐτὸν ἐνστησάμενος, ἣν καὶ εἰς δεῦρο φερομένην ἴσμεν, μόνος ἴσχυσε τῶν ἄλλων κρυψίνουν ὄντα καὶ ἀπατηλὸν φωρᾶσαι τὸν ἄνθρωπον. μίαν δὴ οὖν ἐκ κοινῆς γνώμης οἱ ἐπὶ τὸ αὐτὸ συγκεκροτημένοι ποιμένες διαχαράξαντες

3. κατὰ τὸ Eusebius. Vulgo κατὰ τῷ. Vulgo Γαλιήνου et sic infra. 5. ὅλοις Eusebius. Vulgo ὅλοις τοῦ. 11. Ἀντιοχείας G. 13. εὐθύνων G. Vulgo ἐπικρυπτούμενον. 16. πρεσβυτερίου Eusebius. πρεσβυτέρου A. πρεσβύτερον G. 17. γέ τοι om. G.

cultam tenere conabantur; in adversum alii eius haeresin et in Christum blasphemiam denudare et ad lumen exponere studiosius contendebant. Interim Gallieni anno duodecimo Dionysius ecclesiam Alexandrinam annis septemdecim moderatus excedit e vita et Maximus successor subrogatur; Gallienum annis quindecim totis imperio potitum Claudius princeps excipit, qui anno secundo potestatem tenens eam Aureliano tradit.

Cuius temporibus postrema, qui convenire potuerint, episcoporum synodo coacta, suspectus ac iam manifesti erroris signifer et auctor convictus Antiochiae praesul, ab universa, quae sub caelo est, ecclesia condemnatur. Eum fallaciis quantumvis se integentem et involutum Malchion vir, cum alia scientia clarus, tum divina maxime sapientia illustris, qui ea tempestate Graecanicarum sive humaniorum litterarum scholam regebat, ac propter eximiam in Christum fidei suae sinceritatem presbyteri dignitatem obtinebat, summa sagacia arguit. Ille notariis excipientibus, quam ad haec usque tempora scriptis consignatam tenemus disputationem instituit et hostem licet argutum et veteratorem prae reliquis deprehendit. In unam itaque pastores ecclesiarum sententiam conspirantes, ad Dionysium

ἐπιστολὴν, εἰς πρόσωπον τοῦ τε Ῥωμαίων ἐπισκόπου Διονυσίου καὶ Μαξίμου τοῦ κατὰ Ἀλεξάνδρειαν ἐπὶ πάσας τε διαπέμπονται τὰς ἐπαρχίας, τὴν αὐτῶν μὲν σπουδὴν τοῖς πᾶσι φανερὰν καθιστῶντες, καὶ τοῦ Παύλου δὲ τὴν διάστροφον ἑτεροδοξίαν ἐλέγχους τε καὶ ἐρωτήσεις ἃς πρὸς αὐτὸν ἀνακεκινήκασι, καὶ ἔτι τὸν D πάντα βίον τε καὶ τρόπον τοῦ ἀνδρὸς διηγούμενοι. ἐξ ὧν μνήμης ἕνεκεν καλῶς ἂν ἔχοι ταύτας αὐτῶν ἐπὶ τοῦ παρόντος διελθεῖν τὰς φωνάς. Διονυσίῳ καὶ Μαξίμῳ καὶ τοῖς κατὰ τὴν οἰκουμένην πᾶσι συλλειτουργοῖς ἡμῶν ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις καὶ πάσῃ τῇ ὑπὸ τὸν οὐρανὸν καθολικῇ ἐκκλησίᾳ· Ἕλενος καὶ Ὑμέναιος καὶ Θεόφιλος καὶ Θεότεκνος καὶ Μάξιμος καὶ Πρόκλος, Νικομᾶς καὶ Αἰλιανὸς καὶ Παῦλος καὶ Βωλανὸς, Πρωτογένης καὶ Ἱέραξ καὶ Εὐτυχὴς καὶ Θεόδωρος καὶ Μαλχίων καὶ Λούκιος καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἡμῖν παροικοῦντες τὰς ἐγγὺς πόλεις καὶ ἔθνη ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι καὶ αἱ P. 389 ἐκκλησίαι τοῦ θεοῦ, ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίῳ χαίρειν. τούτοις μετὰ βραχέα ἐπιλέγουσι ταῦτα. ἐπιστέλλομεν δὲ ἅμα καὶ παρακαλοῦμεν καὶ πολλοὺς καὶ τῶν μακρὰν ἐπισκόπων ἐπὶ τὴν θεραπείαν τῆς θανατηφόρου διδασκαλίας, ὥσπερ καὶ Διονύσιον τὸν ἐπὶ τῆς Ἀλεξανδρείας καὶ Φιρμιλιανὸν τὸν ἀπὸ τῆς Καππαδοκῶν τοὺς μακαρίτας, ὧν ὁ μὲν καὶ ἐπέστειλεν εἰς τὴν Ἀντιόχειαν τὸν ἡγεμόνα τῆς πλάνης οὐδὲ προσρήσεως ἀξιώσας οὐδὲ

4. ἐλέγχους P. ἐλέγχου G. 11. Vulgo Τμένεος. 20. Καππαδοκιῶν G. 21. μὲν καὶ] καὶ om. G. εἰς τὴν] εἰς τὴν αὐτὴν G.

episcopum Romanum privatim, et ad Alexandriae Maximum, tum ad provincias reliquas litteras dedere communes, quibus studium in fidem suum, et aversam ab ea Pauli opinionem fraudulentam aperuere; et insimul argumenta, interrogationesque in eum motas, ad haec hominis mores et vitae institutum palam manifestum fecere; ex quibus voces istas posterorum memoriae commendandas praesenti loco percurrere iuvabit. Dionysio et Maximo et cunctis per orbem universum collegis, episcopis, presbyteris, diaconis, et universae, quae sub caelo est, ecclesiae, Helenus et Hymenaeus et Theophilus et Theotecnus et Maximus et Proclus et Nicomas et Aelianus et Paulus et Bolanus et Protogenes et Hierax et Eutyches et Theodorus et Malchion et Lucius et reliqui omnes, qui finitimas civitates et nationes incolunt episcopi et presbyteri et diaconi et ecclesiae dei; dilectis fratribus in domino: salutem. Paucis mox praemissis subiungunt ista. Una cuncti scribimus et episcoporum a nobis dissitorum plures remedio pestiferae huiuscemodi doctrinae ferendo precibus sollicitavimus, inter quos Dionysium Alexandriae et Firmilianum Cappadociae praesules B. memoria dignos recensemus; quorum ille quidem litteras Antiochiam misit, ne salute quidem erroris auctori impertita, vel aliis ad eum privatim datis,



πρὸς πρόσωπον γράψας αὐτῷ, ἀλλὰ τῇ παροικίᾳ πάσῃ, ἧς τὸ ἀντίγραφον ὑπετάξαμεν. ὁ δὲ Φιρμιλιανὸς καὶ δὶς ἀφικόμενος κατέγνω μὲν τῶν ὑπ᾽ ἐκείνου καινοτομουμένων, ὡς ἴσμεν καὶ μαρτυροῦμεν οἱ παραγενόμενοι καὶ ἄλλοι πολλοὶ συνίσασιν, ἐπαγγειλαμένου δὲ μεταθήσεσθαι, πιστεύσας καὶ ἐλπίσας ἄνευ τινὸς V. 310 B περὶ τὸν λόγον λοιδορίας τὸ πρᾶγμα εἰς δέον καταστήσασθαι ἀνεβάλλετο, παρακρουσθεὶς ὑπὸ τοῦ καὶ τὸν θεὸν τὸν ἑαυτοῦ καὶ κύριον ἀρνουμένου καὶ τὴν πίστιν ἣν καὶ αὐτὸς πρότερον εἶχε μὴ φυλάξαντος. ἔμελλε δὲ νῦν ὁ Φιρμιλιανὸς εἰς τὴν Ἀντιόχειαν διαβήσεσθαι, καὶ μέχρι γε Ταρσὸν ἧκεν, ἅτε τῆς ἀρνησιθέου κακίας πεῖραν εἰληφώς. ἀλλὰ γὰρ μεταξὺ συνεληλυθότων καὶ καλούντων καὶ ἀναμενόντων, ἄχρις ἂν ἔλθῃ, τέλος ἔσχε τοῦ βίου.

Μεθ᾽ ἕτερα δ᾽ αὖθις τὸν βίον αὐτοῦ οἵας ἐτύγχανεν ἀγωγῆς διαγράφουσιν ἐν τούτοις. ὅπου δὲ ἀποστὰς τοῦ κανόνος ἐπὶ κίβδηλα καὶ νόθα διδάγματα μετελήλυθεν οὐδὲν δεῖ τοῦ ἔξω ὄν- C τος τὰς πράξεις κρίνειν, οὐδ᾽ ὅτι πρότερον πένης ὢν καὶ πτωχὸς καὶ μήτε παρὰ πατέρων παραλαβὼν μηδεμίαν εὐπορίαν, μηδὲ ἐκ τέχνης ἤ τινος ἐπιτηδεύματος κτησάμενος, νῦν εἰς ὑπερβάλλοντα πλοῦτον ἐλήλακεν, ἐξ ἀνομιῶν καὶ ἱεροσυλιῶν καὶ ὧν αἰτεῖ καὶ σείει τοὺς ἀδελφοὺς καταβραβεύων τοὺς ἀδικουμένους, καὶ ὑπισχνούμενος βοηθήσειν μισθοῦ, ψευδόμενος δὲ καὶ τούτοις καὶ

6. καταστήσεσθαι G. 11. κακίας] αὐτοῦ κακίας G. 15. ὅπου Eusebius. Vulgo οὔπω.

sed ecclesiae duntaxat toti scripsit, quarum exemplar inferius subiecimus. Alter autem, nempe Firmilianus bis huc accessit, et ficta eius opinata (quemadmodum nos qui aderamus et alii plures nobiscum testantur) proscripsit, Paulo vero a sententia defectionem pollicenti fidem praebens, remque omnem controversam absque ullis contumeliis componendam ratus, differebat iudicium; et hoc pacto ab eo, qui deum suum et dominum negaverat et fidem prius acceptam deseruerat, deceptus est. Firmilianus Antiochiam venturus erat, et usque Tarsum iam profectus, perduellis in deum et fidei desertoris perfidiam expertus est. Eo loci dum convenimus, advocamus, et adventum eius praestolamur, excessit e vita.

Et aliis rursum interiectis, Pauli vitam quibus institutus deturpata fuerit, describunt. Quo vero pacto desertis ecclesiae regulis ad falsa et adulterina commenta tuenda diverterit, cum iam ecclesiae sit exsors, nil referre attinet, neque quod in angusta re familiari, nullas a parentibus facultates nactus, nullius etiam artis vel industriae peritus rerum omnium copia nunc abundet, ut rapinis et sacrilegiis, vel a fratribus nonnihil exigens, vel eorum crumenas excutiens ditescat, et oppressorum vindicem et opem pretio interposito laturum pollicitus, cunctos deludit mendaciis;

μάτην καρπούμενος τὴν τῶν ἐν πράγμασιν ὄντων ἑτοιμότητα πρὸς τὸ διδόναι ὑπὲρ ἀπαλλαγῆς τῶν ἐνοχλούντων πορισμὸν ἡγούμενος D τὴν θεοσέβειαν, οὔτε ὡς ὑψηλὰ φρονεῖ καὶ ὑπερῆρται κοσμικὰ ἀξιώματα ὑποδυόμενος, καὶ δουκηνάριος μᾶλλον ἢ ἐπίσκοπος θέλων καλεῖσθαι, καὶ σοβῶν κατὰ τὰς ἀγορὰς καὶ ἐπιστολὰς ἀναγινώσκων καὶ ὑπαγορεύων· ἅμα βαδίζων δημοσίᾳ καὶ δορυφορούμενος, τῶν μὲν προπορευομένων, τῶν δ' ἑπομένων πολλῶν τὸν ἀριθμόν, ὡς καὶ τὴν πίστιν φθονεῖσθαι, μισεῖσθαί τε διὰ τὸν ὄγκον αὐτοῦ καὶ τὴν ὑπερηφανίαν τῆς καρδίας, οὔτε τὴν ἐν ταῖς ἐκκλησιαστικαῖς συνόδοις τερθρείαν ἣν μηχανᾶται δοξοκοπῶν καὶ φαντασιοκοπῶν καὶ τὰς τῶν ἀκεραιοτέρων ψυχὰς τοῖς τοιούτοις ἐκπλήττων, P. 390 βῆμα μὲν καὶ θρόνον ὑψηλὸν ἑαυτῷ κατασκευασάμενος οὐχ ὡς Χριστοῦ μαθητής, ἀλλ' ὡς Ἀντιχρίστου πρόδρομος καὶ μιμητής, σέκρετον δὲ ὥσπερ οἱ τοῦ κόσμου ἄρχοντες ἔχων τε καὶ ὀνομάζων· παίων τε τῇ χειρὶ τὸν μηρὸν καὶ τὸ βῆμα ἀράττων τοῖς ποσὶ καὶ τοῖς μὴ ἐπαινοῦσι μηδὲ ὥσπερ ἐν τοῖς θεάτροις κατασείουσι ταῖς ὀθόναις, μηδὲ ἐκβοῶσί τε καὶ ἀναπηδῶσι κατὰ τὰ αὐτὰ τοῖς ἀμφ' αὐτὸν στασιώταις ἀνδράσι τε καὶ γυναίοις ἀκόσμως οὕτως ἀκροωμένοις, τοῖς δ' οὖν ὡς ἐν οἴκῳ

2. ὑπεραπαλλαγεὶς A. πορισμῶν A. 3. ὑπερήρτηται G. 8. καὶ μισεῖσθαι P. μιμεῖσθαί τε G. 9. τὴν om. G. 12. ἑαυτῷ om. G. 13. οὐχ ὡς — πρόδρομος addidi ex A. Priora οὐχ — μαθητὴς etiam ex P enotata sunt. 14. ἔχοντες P. 15. τῇ om. G. 16. ἐπαινοῦσι AP. ἐπινοοῦσι G. 17. ἐκβοῶσι P. ἐκ τῶν βοῶσι G. τε om. G.

multaque nummorum accessione sibi facta, ex dandi facilitate, qua qui negotiis occupantur ferri se sentiunt, ipse molestiis eorum (ita pietatem lucrum arbitratur) solerter se expedit, vel quantum insolescat et mundi dignitates affectet et ducenarius potius ambiat, quam episcopus vocari, ut per fora plateasque vagetur, hic legat litteras, ibi responsa iubeat, atque procedens in publicum adeo copioso cum praeviorum tum sequentium satellitio stipetur, ut propter eius arrogantiam et cordis elationem in invidiam trahatur fidei nostrae sinceritas, nihil opus est commemorare. Ad haec onerosum est dicendo persequi praestigias omnes, et excogitatas illecebras, quibus sola gloriola vanaque laudis imagine sibi proposita simpliciorum captat et devincit animos. Tribunal quidem et excelsum thronum, non in Christiani discipuli morem, quin immo ad terrenorum magistratuum instar secretum etiam ab eo nuncupatum, paravit; et nunc quidem femore manu percusso, nunc tribunali pedibus pulsato, eos qui dicenti non applauserint ac velut in theatro agitatis sudariolis non acclamaverint, vel qui una cum factionariis homuncionibus et mulierculis eius latera incomposite stipantibus non exsilierint, eos, inquam, qui modeste



θεοῦ σεμνοπρεπῶς καὶ εὐτάκτως ἀκούουσιν ἐπιτιμῶν καὶ ἐνυβρίζων, καὶ εἰς τοὺς ἀπελθόντας ἐκ τοῦ βίου τούτου παραινῶν ἐξηγητὰς τοῦ λόγου, φορτικῶς ἐν τῷ κοινῷ καὶ μεγαλορημονῶν περὶ αὐτοῦ καθάπερ οὐκ ἐπίσκοπος, ἀλλὰ σοφιστὴς καὶ γόης· B ψαλμοὺς μὲν τοὺς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παύσας, ὡς δὴ νεωτέρους καὶ νεωτέρων ἀνδρῶν, συγγράμματα εἰς ἑαυτὸν δὲ ἐν μέσῃ τῇ ἐκκλησίᾳ τῇ μεγάλῃ τοῦ πάσχα ἡμέρᾳ ψαλμῳδεῖν γυναῖκας παρασκευάζων, ὧν καὶ ἀκούσας ἄν τις φρίξειεν, οἷα καὶ τοὺς θωπεύοντας αὐτὸν ἐπισκόπους τῶν ὁμόρων ἀγρῶν τε καὶ πόλεων καὶ πρεσβυτέρους ἐν ταῖς πρὸς τὸν λαὸν ὁμιλίαις καθίησι διαλέγεσθαι. τὸν μὲν γὰρ υἱὸν οὐ βούλεται συνομολογεῖν ἐξ οὐρανοῦ κατεληλυθέναι, (ἵνα τι προλαβόντες τῶν μελλόντων γραφήσεσθαι θῶμεν, καὶ τοῦτο οὐ λόγῳ ψιλῷ ῥηθήσεται, ἀλλ' V. 311 ἐξ ὧν ἐπέμψαμεν ὑπομνημάτων δείκνυται πολλαχόθεν, οὐχ C ἥκιστα δὲ ὅπου λέγει Ἰησοῦν Χριστὸν κάτωθεν) οἱ δὲ εἰς αὐτὸν ψάλλοντες καὶ ἐγκωμιάζοντες ἐν τῷ λαῷ ἄγγελον τὸν ἀσεβῆ διδάσκαλον ἑαυτῶν ἐξ οὐρανοῦ κατεληλυθέναι λέγουσι. καὶ ταῦτα οὐ κωλύει, ἀλλὰ καὶ λεγομένοις πάρεστιν ὁ ὑπερήφανος. τὰς δὲ συνεισάκτους αὐτῷ γυναῖκας, ὡς Ἀντιοχεῖς ὀνομάζουσι, καὶ τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, οἷς καὶ τοῦτο καὶ

2. τούτου P. τοῦτο G. παροινῶν G. 7. δὲ A. καὶ G. 14. δείκνυται P. δεινοί τε G. 15. δὲ om. G. 16. ἄγγελον P. ἄγγελοι G.

et cum ordine, prout in dei templum convenientes decet, aures praebuerint, probris et contumeliis onerat. Ecquid in divini verbi expositores vita iam functos petulanter effutiit, quantum in se publice laudando onerosus, quantum nomini proprio extollendo, non ut episcopus, sed ut circulator frequens sit et ingerat fastidii, referemus? Psalmis in domini nostri Iesu Christi res gestas collimantibus repudiatis, quasi nupere inventis vel nupero stilo conscriptis, ipse in ecclesiae coetu, ipso solemni paschatis die, leves in proprium nomen cantilenas, (quas si quis audiat, perhorrescit), mulierculas praecepit modulari; et quaedam alia de industria composita finitimorum agrorum et urbium episcopos et presbyteros sibi abblandientes habitis ad populum concionibus recitari permisit. Porro filium dei a caelis descendisse nobiscum fateri renuit, (proferamus enim etiam num quod uberius exposituri sumus, quamvis fidem non nudis solum verbis, sed ex monumentis, quae iam misimus, quasi copioso argumentorum agmine confirmemus, ubi maxime ab istis infimis Christum originem duxisse opinatur), ex adverso vero qui cantibus audiente populo laudes eius personant, impium doctrinae propriae magistrum velut angelum e caelo delapsum praedicant. Haec porro tantum abfuit, ut prohiberet, quin immo ex gloriolae cupidine recitata praesens approbavit. Quas autem ad cohabitandum mulieres, Inductas Antiocheni nuncupant, aliasque in presbyterorum et dia-

τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει συνειδὼς καὶ ἐλέγξας, ὅπως αὐτοὺς ὑπόχρεως ἔχει, περὶ ὧν λόγοις καὶ ἔρ-D γοις ἀδικεῖ, μὴ τολμῶντας κατηγορεῖν τῷ καθ' ἑαυτοὺς φόβῳ, ἀλλὰ καὶ πλουσίους ἀπέφηνεν, ἐφ' ᾧ πρὸς ταῦτα ζηλούντων φιλεῖται καὶ θαυμάζεται, τί ἂν ταῦτα γράφοιμεν; ἐπιστάμεθα δὲ, ἀγαπητοὶ, ὅτι τὸν ἐπίσκοπον καὶ τὸ ἱερατεῖον ἅπαν παράδειγμα εἶναι δεῖ τῷ πλήθει πάντων τῶν καλῶν ἔργων, καὶ οὐδὲ ἐκεῖνο ἀγνοοῦμεν ὅσοι ὑπὸ τοῦ συνεισάγειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον, οἱ δὲ ὑπωπτεύθησαν, ὥστε εἰ καὶ δοίη τις αὐτῷ τὸ μηδὲν ἀσελγὲς ποιεῖν, ἀλλὰ τήν γε ὑπόνοιαν τὴν ἐκ τοῦ P. 391 τοιούτου πράγματος φυομένην ἐχρῆν εὐλαβηθῆναι μή τινας σκανδαλίσῃ, τοὺς δὲ καὶ μιμεῖσθαι προτρέψῃ. πῶς γὰρ ἂν ἐπιπλήξειεν ἢ νουθετήσειεν ἕτερον μὴ συγκαταβαίνειν ἐπιπλέον εἰς ταὐτὸν γυναικὶ μὴ ὀλίσθῃ φυλαττόμενον, ὡς γέγραπται, ὅστις μίαν μὲν ἀπέστησεν ἤδη, δύο δὲ ἀκμαζούσας καὶ εὐπρεπεῖς τὴν ὄψιν ἔχει μεθ' ἑαυτοῦ, κἂν ἀπίῃ που, συμπεριφέρει; καὶ ταῦτα τρυφῶν καὶ ὑπερεμπιπλάμενος, ὧν ἕνεκα στενάζουσι μὲν καὶ ὀδύρονται πάντες καθ' αὑτούς· οὕτω δὲ τὴν τυραννίδα καὶ δυναστείαν αὐτοῦ πεφόβηνται ὥστε κατηγορεῖν μὴ τολμᾶν, ἀλλὰ ταῦτα μὲν, ὡς προειρήκαμεν, εὔθυνεν ἂν

4. ἐφ' ᾧ] ἐξ ὧν G. 14. Vulgo ἐολίσθη. ὠλίσθη A. ὡς accessit ex P. 16. ἀπίῃ Eusebius. ἀπείῃ P. ἀπῄν G. 18. ὀδύρωνται A. πάντες add. P. 20. εὔθυνεν Eusebius. Vulgo εὐθύνειν.

conorum contuberniis retentas, quorum criminum vel aliorum a medela certe longe positorum ipse conscius, alios in delictis, quae gestis verbisque perpetrat, deprehensos nulla tenus redarguit, (sed neque ipsi poenae sibi impendentis metu episcopum accusare ausi sunt), imo ut muneribus delinivit, ita vicissim apud horum sectatores in pretio est et admiratione, quid verbis referre necesse est? Hoc certe, dilecti, constat, episcopum et sacrum omnem coetum bonorum omnium operum exemplar populo propositum; neque nos latet aliquos ex tali mulierum societate lapsos, alios in criminis suspicionem venisse; quare quivis licet concedat, nihil eum impuritatis contrahere, suspicionem nihilo secius ex huiusmodi consortio natam, ne quosdam in ruinam impelleret, revereri; alios, ut virtutem imitarentur exemplis hortari necesse fuit. Qua namque fronte reprehendet alium vel admonebit, ne familiari cum muliere utatur convictu, ut iuxta scripturam etiam sibi cavens non labatur, qui nimirum unam legitimam ablegat, alias tamen duas aetate floridas, facie liberales adsciscit? Si eam abesse domo contingat, secum circumducit? Et haec quidem fastu plenus et iactabundus exerceat, quorum causa secreto gemunt cuncti; adeo vero hominis potentiam et atrocitatem pertimescunt, ut nullus in eum causam dicere audeat. Et haec quidem, ex praemissis, viro mentem habenti catholicam



τις ἄνδρα τὸ γοῦν φρόνημα καθολικὸν ἔχοντα καὶ συγκαταριθμούμενον ἡμῖν. τὸ δὲ ἐξορχησάμενον τὸ μυστήριον καὶ ἐμπομπεύσαντα τῇ μιαρᾷ αἱρέσει τῇ Ἀρτεμᾶ (τί γὰρ οὐ χρὴ μόλις τὸν πατέρα αὐτοῦ δηλῶσαι;) οὐδὲ δεῖν ἡγούμεθα τούτων B τοὺς λογισμοὺς ἀπαιτεῖν. εἶτ' ἐπὶ τέλει τῆς ἐπιστολῆς ταῦτ' ἐπιλέγουσιν· ἠναγκάσθημεν ἀντιτασσόμενον αὐτὸν τῷ θεῷ καὶ μὴ εἴκοντα ἐκκηρύξαντες, ἕτερον ἀντ' αὐτοῦ τῇ καθολικῇ ἐκκλησίᾳ καταστῆσαι ἐπίσκοπον θεοῦ προνοίᾳ, ὡς πεπείσμεθα, τὸν τοῦ μακαρίου Δημητριανοῦ καὶ ἐπιφανῶς προστάντος πρὸ τούτου τῆς αὐτῆς παροικίας υἱὸν Δόμνον πᾶσι τοῖς πρέπουσιν ἐπισκόπῳ καλοῖς κεκοσμημένον. ἐδηλώσαμεν οὖν ὅπως τούτῳ C γράφητε καὶ παρὰ τούτου τὰ κοινωνικὰ δέχοισθε γράμματα, τῷ δὲ Ἀρτεμᾷ οὗτος ἐπιστελλέτω. καὶ οἱ τὰ Ἀρτεμᾶ φρονοῦντες τούτῳ κοινωνείτωσαν.

Τοῦ δὴ οὖν Παύλου σὺν καὶ τῇ τῆς πίστεως ὀρθοδοξίᾳ τῆς ἐπισκοπῆς ἀποπεπτωκότος Δόμνος, ὡς εἴρηται, τὴν λειτουργίαν τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας διεδέξατο. ἀλλὰ γὰρ μηδαμῶς ἐκστῆναι τοῦ Παύλου τοῦ τῆς ἐκκλησίας οἴκου θελήσαντος, βασιλεὺς ἐντευχθεὶς Αὐρηλιανὸς αἰσιώτατα περὶ τοῦ πρακτέου διείληφε, τούτοις νεῖμαι προστάττων τὸν οἶκον, οἷς οἱ κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων πόλιν ἐπίσκοποι τοῦ

1. ἄνδρα] τὸν ἄνδρα G. 3. τῇ Ἀρτεμᾶ] τοῦ Ἀρτεμᾶ G. 7. εἴκοντα] ἥκοντα G. 12. δέχεσθε G. 13. οὗτος] οὕτως G. 15. δὴ] δὲ G. καὶ τῇ] τῇ καὶ G. 19. ἐνταχθεὶς G. περὶ τοῦ] περὶ τούτου τοῦ G. 21. οἱ om. G.

uniusque nobiscum gregis corrigendo sufficerent; ab eo vero, qui mysterium fidei prodiderit, et de exsecranda Artemae haeresi visus fuerit ovare, (nihil enim eius patrem enunciare moror), rationes huiusmodi exposcendas nequaquam arbitramur. Ad calcem tamen epistolae subiungunt. Paulum sane deum ipsum hostiliter aggressum, nec, cum advocatus fuit, ad nos accedentem abdicavimus; alium vero ad dei placitum, ut opinamur, episcopi vices in ecclesia catholica subiturum Domnum, videlicet Demetriani felicis memoriae ante Paulum hanc eandem ecclesiam cum honore moderati filium, virum cunctis, quas in episcopo desideramus, virtutibus ornatum subrogavimus. Id vobis ideo significavimus, ut ad eum scribatis et mutuas ecclesiasticae communionis litteras testes reportetis. Ad Artemam, si lubeat, Paulus det litteras, Artemae sequaces, Artemae communionem quaerant. Et ista quidem hic scripta sint.

Paulo igitur fidei sincerae et episcopatus exsorte, Domnus, ut praemissum, Antiochenae ecclesiae suscepit onus. Ecclesiae vero aedibus Paulo cedere detrectante, Aurelianus Imperator sententiam dicere rogatus, quid facto opus, sanctissime pronunciavit; ei domum assignandam, qui-

D δόγματος ἐπιστέλλοιεν. οὕτω δῆτα ὁ προδηλωθεὶς ἀνὴρ μετὰ τῆς ἐσχάτης αἰσχύνης ὑπὸ τῆς κοσμικῆς ἀρχῆς ἐξελαύνεται τῆς ἐκκλησίας.

1. οὕτω] οὕτως G. 3. ἕως ὧδε συγγέλλου in fine addit P.

bus Italiae Romanaeque urbis episcopi concedendam decernerent. Ita demum cum supremo dedecore principis iussu memoratus homo ecclesiae gremio excluditur.

---

# NICEPHORI
## CONSTANTINOPOLEOS ARCHIEPISCOPI
# CHRONOGRAPHIA
## BREVIS.